Acolouthiai kai Martyriai

Τῶν ἁγίων ἐνδόξων τεσσάρων νέων ὁσιομαρτύρων Ἐνθυμίου Ἰγνατίου, Ἀκακίου καὶ Ὀνουφρίου, τῶν ἐν τοῖς ἰσχάτοις καιροῖς ὑπὲρ Χριστοῦ ἀθλησάντων, συγγραφεῖσα ὑπὸ Ὀνουφρίου τοῦ Ἰβηρίτου.

Τούτοις θεοστιδαγμα καὶ οἱ βίοι καὶ ἡ ἀκολουθία τῶν νεομαρτύρων Γεωργίου Χιοσοφίου καὶ Θεοδώρου τοῦ Βυζαντίου.

Ἐκδίδονται δὲ ὑπὸ Ἀκακίου, μοναχοῦ Προδρομίτου

Ἐν Ἀθήναις, ἐκ τοῦ τυπογραφείου Ἡ Φιλοτέκνος Λέσχη.

1862

ΜΗΝΙ ΜΑΙΩι Α'.

Μνήμην ἐπιτελοῦμεν τῶν ἁγίων τριῶν ὁσιομαρτύρων Εὐθυμίου, Ἰγνατίου, καὶ Ἀκακίου. Ἑσπέρας ἐν τῷ μικρῷ Ἑσπερινῷ ἱστῶμεν στίχους δ', καὶ ψάλλομεν προσόμοια.

Ἦχος ά.

Πανεύφημοι μάρτυρες ὑμᾶς.

Πανεύφημοι μάρτυρες ὑμεῖς, ἐν σταδίῳ σήμερον φωνὴν ὑψοῦντες κηρύττετε, Χριστὸν θεάνθρωπον καὶ ἀπίστων πλάνην, καὶ τὰ τούτων σύμβολα ποσὶν ὑμῶν πατοῦντες συντρίβετε, τὴν κάραν δαίμονος, καὶ χαρὰν πιστοῖς παρέχετε, τὸν Σωτῆρα πιστῶς μεγαλύνοντες.

Ἐξέστη δαιμόνων ἡ πληθύς, καὶ σατὰν ὁ δόλιος, ὁρῶν καταβέβληται· ἐν γὰρ τῷ σκάμματι τὸν σταυρὸν Κυρίου, ἀνυψοῦντες ἔνδοξοι, Χριστοῦ τῷ θείῳ πόθῳ φλεγόμενοι, φαιδροὶ πρὸς θάνατον, ἐπεσπεύσατε στερρόψυχοι, καὶ μαρτύρων δήμοις συνετάχθητε.

Εὐθύμιε μάρτυς τοῦ Χριστοῦ, μετὰ σοῦ Ἰγνάτιον, τὸν φίλον ὄντως καὶ σύναθλον, καὶ τὸν Ἀκάκιον, σὺν τῷ Ὀνουφρίῳ, μιμητὰς ἀθλήσεως τῆς σῆς παραλαβὼν πρὸς τὸν Κύριον, θερμῶς πρεσβεύσατε, ὅπως φύγωμεν τὰ ἔνεδρα ἐπηρείας δεινοῦ πολεμήτορος.

ΕΘΝΙΚΟ ΜΟΥΣΕΙΟ ΒΙΒΛΙΟΘΗΚΗ ΔΗΜΗΤΡΙΟΣ ΠΑΠΑΣΤΡΑΤΗΣ

ΜΗΝΙ ΜΑΙΩι Α'.

Μνήμην ἐπιτελοῦμεν τῶν ἁγίων τριῶν ὁσιομαρτύρων Εὐθυμίου, Ἰγνατίου, καὶ Ἀκακίου. Ἑσπέρας ἐν τῷ μικρῷ Ἑσπερινῷ ἱστῶμεν στίχους δ', καὶ ψάλλομεν προσόμοια.

Ἦχος ά.

Πανεύφημοι μάρτυρες ὑμᾶς.

Πανεύφημοι μάρτυρες ὑμεῖς, ἐν σταδίῳ σήμερον φωνὴν ὑψοῦντες κηρύττετε, Χριστὸν θεάνθρωπον καὶ ἀπίστων πλάνην, καὶ τὰ τούτων σύμβολα ποσὶν ὑμῶν πατοῦντες συντρίβετε, τὴν κάραν δαίμονος, καὶ χαρὰν πιστοῖς παρέχετε, τὸν Σωτῆρα πιστῶς μεγαλύνοντες.

Ἐξέστη δαιμόνων ἡ πληθύς, καὶ σατὰν ὁ δόλιος, ὁρῶν καταβέβληται· ἐν γὰρ τῷ σκάμματι τὸν σταυρὸν Κυρίου, ἀνυψοῦντες ἔνδοξοι, Χριστοῦ τῷ θείῳ πόθῳ φλεγόμενοι, φαιδροὶ πρὸς θάνατον, ἐπεσπεύσατε στερρόψυχοι, καὶ μαρτύρων δήμοις συνετάχθητε.

Εὐθύμιε μάρτυς τοῦ Χριστοῦ, μετὰ σοῦ Ἰγνάτιον, τὸν φίλον ὄντως καὶ σύναθλον, καὶ τὸν Ἀκάκιον, σὺν τῷ Ὀνουφρίῳ, μιμητὰς ἀθλήσεως τῆς σῆς παραλαβὼν πρὸς τὸν Κύριον, θερμῶς πρεσβεύσατε, ὅπως φύγωμεν τὰ ἔνεδρα ἐπηρείας δεινοῦ πολεμήτορος.

Τρισάριθμοι μάρτυρες στερρῶς ἀνταγωνισάμενοι, τοῖς ὠμοτάτως δικάζουσι, καὶ ὑπομείναντες τῶν κολαστηρίων εἴδη φρικωδέστατα, τῆς ἄνω βασιλείας ἐτύχετε. Διὸ πρεσβεύσατε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος ά.

Μακάριοι ἐστὲ ὑμεῖς, οἱ τῆς Τριάδος ἰσάριθμοι, νεομάρτυρες ἔνδοξοι, διὰ τὴν τῶν ἀγαθῶν ἀπόλαυσιν· ἐν ὀλίγῳ γὰρ τελέσαντες τὸν δρόμον τοῦ μαρτυρίου ὑμῶν, ἀπηλαύσατε εὐφροσύνης αἰωνίου, μετὰ ὁσίων συνευαγγελλόμενοι, καὶ μετὰ μαρτύρων συναγελαζόμενοι. Ἐντρυφῶντες οὖν τοῦ θείου κάλλους ἀνενδότως, μὴ ἐπιλήσησθε ἡμῶν πρεσβεύοντες πρὸς Κύριον, ἐπιτυχεῖν ἡμᾶς τῆς αὐτῆς εὐφροσύνης, παμμακάριστοι.

Καὶ νῦν τῆς ἑορτῆς. Εἰς τὸν στίχον,
Προσόμοια, ἦχος β'. Οἶκος τοῦ Εὐφραθᾶ.

Δεῦρο πᾶσα πληθὺς τῶν χριστωνύμων ὕμνοις τιμήσωμεν αἰσίως τοὺς μάρτυρας τοὺς νέους, οὓς ὁ Χριστὸς ἐδόξασε.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Εὖχος τῶν ἀσκητῶν, ἀγλάϊσμα μαρτύρων Εὐθύμιε ἐδείχθης, σὺν θείῳ Ἀκακίῳ, καὶ πρέσβυς ἡμῶν ἄγρυπνος.

Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ.

Ἄγχος τῶν ἀσεβῶν, Ἰγνάτιε ἐγένου, τελειωθεὶς ἀγχόνῃ, Χριστοῦ δὲ μάρτυς νέος, ᾧ ὑπὲρ πάντων πρέσβευε.

Δόξα. Ὅμοιον.

Σέλας τὸ τριλαμπές, Πάτερ Υἱὲ καὶ Πνεῦμα, τῶν σῶν νεομαρτύρων πρεσβείαις εὐπροσδέκτοις, ἐλέησον τὸν κόσμον σου.

Καὶ νῦν. Θεοτοκίον.

Μῆτερ τοῦ Ἰησοῦ, θεόνυμφε Μαρία, μετὰ τῶν νεοάθλων, ὑπὲρ ἡμῶν τὸν κτίστην πρεσβεύσατε, δεόμεθα. Ἀπολυτίκιον.

Δόξα. Ἦχος ά.

Τοὺς τρεῖς μεγίστους φωστῆρας.

Ἰσάριθμοι Τριάδος τῆς ἀκτίστου ὑπάρχοντες, σὺν ταῖς τῶν Ἀγγέλων χορείαις, καὶ μαρτύρων τοῖς τάγμασι, παρίστασθε χαίροντες ὑμεῖς, τῷ θρόνῳ τῆς θεότητος σοφοί. Διὰ τοῦτο ἐν μεθέξει, τὰς ἀστραπὰς ἐκεῖθεν προσλαμβάνοντες, πηγὰς ἰαμάτων τοῖς πιστοῖς παρέχετε καὶ θεῖον φωτισμόν, μάρτυς Εὐθύμιε Χριστοῦ, σὺν τῷ σοφῷ Ἰγνατίῳ, καὶ τῷ θείῳ Ἀκακίῳτε, ὑπὲρ ἡμῶν ἀεὶ πρεσβεύοντες.

Καὶ νῦν τῆς ἑορτῆς.

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟ ΠΟΛΥΤΕΧΝΕΙΟ ΒΙΒΛΙΟΘΗΚΗ ΚΑΙ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΑΘΟΠΟΥΛΟΣ

Ἐν τῷ μεγάλῳ Ἑσπερινῷ τὸ Μακάριος ἀνήρ· εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ἡ, καὶ ψάλλομεν προσόμοια τῶν Ἁγίων.

Ἦχος δ΄.

Ὡς γενναῖον ἐν μάρτυσιν.

Τὴν καινὴν καὶ χαρμόσυνον, ἑορτὴν Χριστὲ σήμερον, τῶν νεομαρτύρων σου ἑορτάζοντες, ἔαρος ὥρᾳ φιλάνθρωπε, ὡς ἄνθη πανεύοσμα, χελιδόνας τορευτὰς, κελαδούσας ἐν χάριτι σὴν Θεότητα, καὶ πληρούσας χαρᾶς τῶν ὀρθοδόξων τὰς καρδίας σοι ἐν πίστει, αὐτῶν τοὺς ἄθλους προσφέρομεν.

Αἰσθητὸν ἔαρ σήμερον, αἰσθητὴν κτίσιν ηὔφρανε, νοητὸν ἀνέτειλεν ἡ ἀνάστασις Χριστοῦ, καὶ φύσιν ἐν Πνεύματι βροτῶν ἀναπλάττουσα, ἐπευφραίνει νοητῶς. Νῦν δὲ ἔαρ τριπλάσιον ἡ πανήγυρις, τῶν τριῶν ἀθλοφόρων κατατέρπει, τριπλασίως τὰς αἰσθήσεις, ψυχῆς ἡμῶν καὶ τοῦ σώματος.

Ὡς ὡραῖοι καὶ πάγκαλοι, νεανίαι παρίστασθε, τῷ Χριστῷ μακάριοι νεομάρτυρες, κόσμον φοροῦντες βασίλειον, τὰ εἴδη κολάσεων, καὶ ὡς λίθους καθαροὺς τῆς σαρκὸς ὑμῶν στίγματα, τῶν αἱμάτων δὲ τὴν ῥοὴν ὡς πορφύραν, καὶ Σταυρόν τε θεῖον σκῆπτρον μετὰ δόξης, σὺν τοῖς Ἀγγέλοις ἀγάλλεσθε.

Τῆς Τριάδος ἰσάριθμοι, νεομάρτυρες ἔνδοξοι, ἀθληταὶ ἀήττητοι καὶ στερρότατοι, ὁ θεῖος ὄντως Εὐθύμιος, σὺν τούτῳ Ἰγνάτιος, καὶ Ἀκάκιος στερρὸς, οἱ

καινὴν συγκροτήσαντες νῦν πανήγυριν, τῷ Δεσπότῃ τῶν ὅλων τὰς δεήσεις μὴ ἐλλείπητε προσφέρειν, ὑπὲρ ἡμῶν ἀξιάγαστοι.

Δόξα. Ἦχος πλ. δ΄.

Σήμερον ἐξέλαμψαν ἐν τῷ τῆς πίστεως στερεώματι, οἱ τρεῖς ἥλιοι λαμπροὶ καὶ τερπνότατοι, ἡ ὑπέρλαμπρος τριὰς τῶν σοφῶν νεομαρτύρων τοῦ Χριστοῦ, οὓς οἱ πιστοὶ συνελθόντες ἐν τῷ σεπτῷ αὐτῶν τεμένει, ἐαρινοῖς ἄσμασι καταστέψωμεν λέγοντες· χαίρετε τρεῖς ἀθληταὶ πανένδοξοι, τῆς ὀρθοδόξου πίστεως νεόδμητα φρούρια, καὶ βάσεις ἀσφαλέστατοι· χαίροις Εὐθύμιε μέγιστε, ὁ πρὸ τῶν ἀπίστων διατρανώσας τὴν θεότητα Χριστοῦ, καὶ τὴν δαίμονος Ἄγαρ πλάνην σοφῶς καταβαλών, ὃς ὡς ὁ νικηφόρος ἀθλητὴς, μετὰ βαΐων καὶ κλάδων τὸ πάθος προλαβὼν τοῦ Κυρίου σεαυτῷ ὑπέζωγράφησας, στάδιον ἀνοίξας μαρτυρίου λαμπρότατον, τοῖς μετὰ σὲ ἐλθοῦσι τρισὶ συναθληταῖς· χαίροις Ἰγνάτιε ἔνδοξε, ὁ μιμητὴς γενόμενος τῶν παθημάτων τοῦ Χριστοῦ ἀκριβέστατος, καὶ τῇ ἀγχόνῃ σου ἀποπνίξας τὸν διάβολον· χαίροις Ἀκάκιε πανέντιμε, ὁ τῇ ῥοῇ τῶν αἱμάτων σου ἐπιχρώσας σεαυτῷ ἁλουργίδα βασίλειον, μεθ' ἧς παρίστασαι τῷ θρόνῳ τῆς θεότητος. Ἀλλ' ὦ τριαδικὰ ἀσυνθέτου Τριάδος, ἁπλανῆ ἐνδιαιτήματα, μὴ διαλείπητε πρεσβεύειν ὑπὲρ ἡμῶν πρὸς Κύριον.

ΕΘΝΙΚΟΝ ΑΣΤΕΡΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΑΘΗΝΩΝ ΓΕΩΡΓΙΟΣ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

Καὶ νῦν τῆς ἑορτῆς. Εἴσοδος· τὸ Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας, καὶ τὰ ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα.

Τάδε λέγει Κύριος· πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀκουστὰ ποιήσει ὑμῖν; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ· γίνεσθέ μοι μάτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεὸς, καὶ ὁ παῖς, ὃν ἐξελεξάμην, ἵνα γνῶτε, καὶ πιστεύσητέ μου καὶ συνῆτε, ὅτι ἐγώ εἰμι, ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός· καὶ μετ' ἐμὲ οὐκ ἔσται· ἐγώ εἰμι Θεὸς, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων· ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν Θεὸς ἀλλότριος· ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεὸς, ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεὸς, ὁ λυτρούμενος ὑμᾶς, ὁ ἅγιος Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα. οἱ δέ εἰσιν ἐν εἰρήνῃ· καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης, καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ, ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτοὺς, καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας· οἱ πεποιθότες ἐπ' αὐτὸν συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτοὺς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν· λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι· ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαίλαψ ἐκλικμήσει αὐτοὺς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν καὶ σύνετε, μάθετε δικασταὶ περάτων γῆς, ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ τοῦ Ὑψίστου.

Εἰς τὴν λιτὴν ἰδιόμελα.

Ἦχος ά.

Ἔπρεπε τοῖς αὐτόπταις τοῦ λόγου καὶ ὑπηρέταις, καὶ τῆς κατὰ σάρκα Μητρὸς αὐτοῦ τὴν κοίμησιν ἐποπτεῦσαι, τελευταῖον οὖσαν ἐπ' αὐτῇ μυστήριον, ἵνα μὴ μόνον τὴν ἀπὸ γῆς τοῦ Σωτῆρος ἀνάβασιν θεάσωνται, ἀλλὰ καὶ τῆς τεκούσης αὐτὸν τῇ μεταθέσει μαρτυρήσωσι. Διόπερ πάντοθεν θείᾳ δυνάμει περαιωθέντες, τὴν Σιὼν κατελάμβανον, καὶ πρὸς οὐρανὸν ἐπειγομένην, προέπεμπον τὴν ἀνωτέραν

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟΝ ΠΟΛΥΤΕΧΝΕΙΟ ΒΙΒΛΙΟΘΗΚΗ ΚΑΙ ΚΕΝΤΡΟ ΠΛΗΡΟΦΟΡΗΣΗΣ ΔΗΜΗΤΡΗΣ ΠΑΠΑΣΤΕΡΓΙΟΥ

τῶν Χερουβίμ, ἣν καὶ ἡμεῖς σὺν αὐτοῖς προσκυνοῦμεν, ὡς πρεσβεύουσαν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ὁ αὐτός.

Ὁσιότητος καύχημα, καὶ δόξα μαρτυρίου ἀνεδείχθητε θαυμάσιοι· τὸν Σταυρὸν γὰρ τοῦ Χριστοῦ ἀσκητικῶς ἀναλαβόντες, στάδιον ἠνύσατε μαρτυρίου πανένδοξον· καὶ μετὰ δόξης ἀποκάθαρσιν, ἑαυτοῖς μαρτυρικῶς ἐκτελέσαντες, ὡς καθαροὶ τῷ καθαρῷ παρίστασθε Χριστῷ, στεφανηφόροι πανένδοξοι, τρεῖς νεομάρτυρες, Εὐθύμιε μέγιστε, Ἰγνάτιε στερρόφρον καὶ Ἀκάκιε λαμπρότατε, μετὰ μαρτύρων καὶ ὁσίων εὐφραινόμενοι, καὶ πρεσβεύοντες ὑπὲρ ἡμῶν.

Ἦχος δ΄.

Ὡς ἔαρ εὐφρόσυνον, ἀνέτειλε σήμερον ἡ τρισαυγὴς τῶν νεομαρτύρων πανήγυρις. Δεῦτε οὖν φαιδρῶς ἑορτάσωμεν φιλέορτοι, τρυφῶντες ἐν πνεύματι τοῖς διὰ Χριστὸν ἀγῶσιν αὐτῶν καὶ παλαίσμασιν· ὅτι τὴν φύσιν ἐκβιασάμενοι, ὑπερήλασαν πάντας τῇ ἁγιότητι, καὶ τῷ ἔρωτι τοῦ Κυρίου φλεγόμενοι, ἔδραμον ἑκουσίως πρὸς τὸ μαρτύριον, καὶ τὸ ἔνδοξον ποτήριον τοῦ θανάτου πιόντες ἐν χαρᾷ, ἐδέξαντο τὸν τῆς νίκης στέφανον, ὡς νικηταὶ καὶ τροπαιοῦχοι, οἱ πανένδοξοι Εὐθύμιος, Ἰγνάτιος, καὶ Ἀκάκιος· καὶ νῦν μετὰ Ἀγγέλων ἐν οὐρανοῖς χορεύοντες, ὁσίων καὶ μαρτύρων, καὶ μέσον ἡμῶν ἱστάμενοι ἀοράτως, ἐν τῷ σεπτῷ αὐτῶν τεμένει, ἁγιάζουσιν ἡμᾶς τοὺς ἐκτελοῦντας τὴν ἱερὰν αὐτῶν καὶ σεβάσμιον πανήγυριν.

Ἦχος δ΄.

Τοὺς ἀριστέας Χριστοῦ τρισαρίθμους ὁπλίτας Εὐθύμιον, Ἰγνάτιον, καὶ Ἀκάκιον, συνελθόντες ἀδελφοί, ἐν τῷ σεπτῷ αὐτῶν τεμένει, ἐγκωμίοις μαρτυρικοῖς καὶ ᾠδαῖς πνευματικαῖς εὐφημήσωμεν· οὗτοι γὰρ τῶν τυραννούντων τὰ θράση μὴ δειλιάσαντες, μᾶλλον δὲ τὴν πίστιν Χριστοῦ τρανῶς κηρύξαντες, νομίμως ἐνήθλησαν, καὶ τὰ τῆς νίκης βραβεῖα παρ' αὐτοῦ ἐκομίσαντο· καὶ νῦν ἐν οὐρανοῖς μετ' Ἀγγέλων χορεύοντες τὴν ἀκατάλυτον χορείαν, αἰτοῦνται τῇ οἰκουμένῃ εἰρήνην, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. ά.

Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ᾄσατε αὐτῷ πᾶσα ἡ γῆ· σήμερον γὰρ οἱ τρεῖς αὐτοῦ νεομάρτυρες Εὐθύμιος, Ἰγνάτιος καὶ Ἀκάκιος, καινὴν ἑορτὴν συστησάμενοι, φιλοφρόνως δεξιοῦνται τοὺς συνελθόντας αὐτοῖς ἐραστάς· ἄϋλον τράπεζαν παραθέμενοι, τοὺς διὰ Χριστὸν αὐτῶν ἀγῶνας, ὡς ἐδέσματα παντοδαπὰ προβάλλουσι. Δεῦτε οὖν νοητῶς ἀριστήσαντες, εὐφρανθῶμεν τῷ πνεύματι, καὶ τῷ Δεσπότῃ Χριστῷ ἐκ καρδίας εἴπωμεν· εἷς εὐλογημένος εἰς τοὺς αἰῶνας Κύριε, ὁ καὶ τούτους τοὺς ἐραστάς σου νικητὰς ἀναδείξας τῆς ἁμαρτίας, καὶ στεφάνῳ δόξης αὐτοὺς κατακοσμήσας. Ἀξίωσον οὖν καὶ ἡμᾶς, μιμητὰς γενέσθαι τῶν ἀρετῶν αὐτῶν, καὶ τῆς ἴσης δόξης ἐπιτυχεῖν, πολυέλεε Κύριε, δόξα σοι.

ΕΘΝΙΚΟΝ ΚΑΠΟΔΙΣΤΡΙΑΚΕΙΟΝ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΑΘΗΝΩΝ ΚΕΝΤΡΟ ΨΗΦΙΑΚΗΣ ΤΕΚΜΗΡΙΩΣΗΣ ΚΑΙ ΠΛΗΡΟΦΟΡΗΣΗΣ ΔΙΟΝΥΣΗΣ ΚΑΤΣΟΥΡΟΣ

Καὶ νῦν. Ἀναστάσεως ἡμέρα.

Εἰς τὸν στίχον, Προσόμοια. Ἦχος πλ. ά.

Χαίροις ἀσκητικῶν.

Χαίροις νεομαρτύρων τριὰς, οἱ τῆς Τριάδος τῆς ἀκτίστου ὑπέρμαχοι, οἱ πᾶσαν τὴν γῆν ἀκτῖσι τοῦ μαρτυρίου ὑμῶν ὡς φωστῆρες θεῖοι καταλάμψαντες, καὶ νῦν προσδεχόμενοι παρ' ἡμῶν τὰ ἐφύμνια, καὶ τὰς δεήσεις τῷ Δεσπότῃ προσάγοντες καὶ ἰάματα, δεομένοις βραβεύοντες, θύματα ἀεισέβαστα, κειμήλια ἔντιμα, ἄνθη ὡραῖα καὶ νέα τῆς τῶν πιστῶν ὁμηγύρεως. Χριστὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Χαίροις νεομαρτύρων τριὰς, ὁ τὰς δαιμόνων παρατάξεις τρεψάμενος, καὶ πᾶσαν Ἀγγέλων φύσιν ὁ καταπλήξας σαφῶς, καὶ πληθὺν βραβείων ἐπαράμενος, σοφῶς τὸν ἀντίχριστον ὁ ἐλέγξας Εὐθύμιε, καὶ εὐθυμίαν τοῖς πιστοῖς μνηστευσάμενος, ὁ τοῦ σκότους τε, ἀποπνίξας τὸν ἄρχοντα, πάθη ὁ μιμησάμενος Χριστοῦ μου Ἰγνάτιε, ὅλος ὡραῖος ἐμπρέπων τῇ ἀκακίᾳ Ἀκάκιε. Χριστὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ.

Χαίροις νεομαρτύρων τριὰς, οἱ ἀθλοφόρων παλαιῶν μιμησάμενοι, τὴν στάσιν καὶ καρτερίαν καὶ τὸ γενναῖον σαφῶς, καὶ στεφάνους ἴσους εἰσδεξάμενοι· Χριστοῦ θείῳ ἔρωτι πυρποληθέντες ἀοίδιμοι, ἑαυτοὺς εἰς

θάνατον ἑκουσίως ἐδώκατε, καὶ ὡς ἅγιοι, παρ' ἡμῶν νῦν δοξάζεσθε, νόμιμον οἱ τελέσαντες, ἀθλήσεως στάδιον, νόμιμα στέφη καὶ θεῖα, παρὰ Χριστοῦ κομισάμενοι. Αὐτὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. δ'.

Χαίρετε ἐν Κυρίῳ Τριάδος ἰσάριθμοι, νεομάρτυρες ἔνδοξοι· χαίρετε ἐν Χριστῷ τῷ Θεῷ, καὶ πάλιν χαίρετε Εὐθύμιε, Ἰγνάτιε καὶ Ἀκάκιε, τὸ τρισοφὲς τριστέλεχον ἄθροισμα, ἡ νεοσύλεκτος χορεία, καὶ τρίπλοκος, ἡ γενναία παράταξις τοῦ παντάνακτος Θεοῦ· χαίρετε τὰ πόνοις ἀσκήσεως λευκανθέντα κρίνα τῆς Ἐδὲμ, καὶ αἵμασι μαρτυρικοῖς, φοινιχθέντα ῥόδα τῆς χάριτος, ἡ λαμπρὰ ἁρμονία τῆς θεότητος τοῦ Ἰησοῦ, καὶ τῆς ἀγάπης αὐτοῦ ὁ σύνδεσμος· ὁ ἀδιάῤῥηκτος συνασπισμὸς τῆς πίστεως, τὸ τρίτειχον φρούριον τῆς πόλεως τοῦ Θεοῦ, ὁ τριόροφος οἶκος τῆς παναγίας Τριάδος, τὰ καθαρὰ καταγώγια Πατρὸς Υἱοῦ καὶ ἁγίου Πνεύματος· χαίρετε παῖδες τοῦ Χριστοῦ ὡραιότατοι, Μάρτυρες ἅγιοι· τὰ νεόθυτα πρόβατα, οἱ προσαγόμενοι μόσχοι, τῇ μυστικῇ τραπέζῃ τοῦ Χριστοῦ καὶ Θεοῦ· ὧν καὶ τὰ αἵματα βοῶσιν ὑπὲρ ἡμῶν πρὸς Κύριον.

Καὶ νῦν τῆς ἑορτῆς.

Ἀπολυτίκιον εἰς τὸν μικρὸν Ἑσπερινόν.

ΕΘΝΙΚΟΝ ΚΑΠΟΔΙΣΤΡΙΑΚΟΝ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΑΘΗΝΩΝ ΒΙΒΛΙΟΘΗΚΗ ΓΕΩΡΓΙΟΣ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΑΜΟΣ

Εἰς τὸν Ὄρθρον. Μετὰ τὴν ἁ. στιχολογίαν,

Καθίσματα. Ἦχος ἁ.

Τὸν τάφον σου Σωτήρ.

Λαμπρὰ ἡ τῶν ὡρῶν, βασιλὶς ἀνατέλλει, ὑπέρλαμπροι δὲ νῦν, συνεκλάμπουσι ταύτῃ, Χριστοῦ οἱ νεομάρτυρες, ὁ σοφὸς Εὐθύμιος, καὶ Ἰγνάτιος, σὺν τῷ κλεινῷ Ἀκακίῳ, οἱ κηρύξαντες, ἐν τῷ σταδίῳ γενναίως, Χριστοῦ τὴν θεότητα.

Δόξα, τὸ αὐτό. Καὶ νῦν, ὅμοιον.

Τὰ μύρα σοι θερμῶς, προσκομίζουσαι Λόγε, Ἀγγέλου τῇ μορφῇ, ἐξεπλάγησαν ὄντως, γυναῖκες αἱ θεόφρονες, Ἀποστόλοις δὲ ἔκραζον· ἐξεγήγερται, ὄντως Χριστὸς καὶ ἀνέστη· οὐ γὰρ εὕρομεν, αὐτὸν ἐν τάφῳ καὶ ὤφθη, ἡμῖν θεῖος Ἄγγελος.

Μετὰ τὴν β' στιχολογίαν Κάθισμα.

Θείας πίστεως.

Νέος ἔλαμψας, Χριστοῦ τῇ πίστει, μάρτυς ἔνδοξε, λαμπρὰν Τριάδα, ἀθλοφόρων πληρῶν καὶ τυπούμενος, τὸν ἀριθμὸν ἀρχιθέου Τριάδος τε· ἀλλ' ἐμφραγήτωσαν στόματα βλάσφημα, μὴ δεχόμενα νεομαρτύρων τὴν ἄθλησιν, ὁμολογούντων Χριστοῦ τὴν θεότητα.

Δόξα, τὸ αὐτό. Καὶ νῦν,

Ἀναστασιμοθεοτοκίον.

Θεῖος ἄγγελος φανεὶς ἐν δόξῃ, ἐξεβόησε ταῖς μυροφόροις· τί ζητεῖτε Χριστὸν ἐν τῷ μνήματι; ἰδοὺ ὁ τάφος κενός· ἐξεγήγερται· τοῖς Ἀποστόλοις δὲ, ταῦτα κηρύξατε. Αὗται τρέμουσαι, χαρᾷ καὶ φόβῳ ἐπέστρεφον, κραυγάζουσαι· ἀνέστη ὄντως ὁ Κύριος.

Μετὰ τὸν Πολυέλεον Κάθισμα.

Ἐπεφάνης σήμερον.

Τῶν λαμπρῶν ἀγώνων σου, τὴν οἰκουμένην ὡραΐζει ἔνδοξε, βαϊοφόρος ἑορτὴ, ὁσιομάρτυς Εὐθύμιε. Σῶζε τρισμάκαρ, τοὺς πόθῳ τιμῶντάς σε.

Δόξα, ὅμοιον.

Ἐπεφάνη σήμερον, τῇ Ἐκκλησίᾳ, ἡ καινὴ πανήγυρις, τῶν ἀθλοφόρων τῶν τριῶν, δίκην φωστήρων αὐγάζουσα, τῶν ὀρθοδόξων λαῶν τὰ συστήματα.

Καὶ νῦν, ὅμοιον.

Ἐπεφάνη σήμερον Ἄγγελος Θεῖος, ἐξαστράπτων, Κύριε, ταῖς μυροφόροις γυναιξὶ, τὴν σὴν κηρύττων ἀνάστασιν, δι' ἧς οἰκτίρμον ἡμᾶς κατοικτείρησον.

Οἱ ἀναβαθμοί. Τὸ ἁ. Ἀντίφωνον τοῦ δ'. Ἦχου.

Προκείμενον. Ἦχος δ'.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ.

Εὐαγγέλιον κατὰ Λουκᾶν.

Εἶπεν ὁ κύριος, προσέχετε ἀπὸ τῶν ἀνθρώπων.

Δόξα, Ταῖς τῶν ὁσιάθλων πρεσβείαις.

Καὶ νῦν, Ταῖς τῆς Θεοτόκου. Στίχος:

Ἐλέησόν με ὁ Θεός. Ἦχος β'.

Λίαν ἐμοὶ ἐτιμήθησαν οἱ φίλοι σου, ὁ Θεὸς, λίαν

ἐμοὶ ἐκραταιώθησαν αἱ ἀρχαὶ αὐτῶν. Περισσοτέρως δέ μοι ἠγαπήθησαν οἱ μάρτυρές σου Κύριε· ὅτι τῷ ἰδίῳ αἵματι αὐτῶν κηρύξαντές σου τὴν Θεότητα, στηρίζουσιν ἡμᾶς, τῇ σωτηρίῳ ὁμολογίᾳ, τοῦ τρισαγίου σου ὀνόματος. Εὐχαῖς οὖν τῶν νέων σου τούτων μαρτύρων, Εὐθυμίου, Ἰγνατίου καὶ Ἀκακίου, στήριξον ὀρθοδοξίᾳ τὴν Ἐκκλησίαν σου Χριστὲ, καὶ πλουσίαν τῷ κόσμῳ τὴν εἰρήνην κατάπεμψον, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Ὁ κανὼν τοῦ Πάσχα καὶ τῶν Ἁγίων.

Ὠδὴ ά. Ἦχος ά.

Ἀναστάσεως ἡμέρα.

Ἀναστάσεως ἡμέρα τοῦ Κυρίου Χριστοῦ. Δεῦτε συμφώνως πάντες, τριῶν μαρτύρων ἑορτὴν συγκροτήσωμεν πιστοί. Τριὰς ὁ Θεὸς, αὐτοὺς γὰρ ἐδόξασεν, ἐπινίκιον ᾄδοντας.

Ἀναστάσεως ἡμέρα βασιλέως Χριστοῦ. Πάντα καινὰ ὁρῶντες, δεῦτε συμφώνως καὶ ἡμεῖς, συγκροτήσωμεν πιστοὶ, καινὴν ἑορτὴν, τοὺς τρεῖς νεομάρτυρας, μετὰ πόθου ἐξάδοντες.

Καθαρθῶμεν τὰς αἰσθήσεις καὶ ὀψόμεθα τὸν ἀναστάντα Χριστὸν, καὶ τρεῖς νεομάρτυρας, αὐτοῦ ἐξαστράπτοντας, ἡλίου φαιδρότερον, καὶ πάντας αὐγάζοντας, τοὺς πιστοὺς ἐν τῇ χάριτι.

Καθαρθῶμεν τὰς αἰσθήσεις καὶ ὀψόμεθα, τρεῖς παρηλίους λαμπρούς, νῦν συνανίσχοντας, Χριστῷ ἐκ τοῦ μνήματος, ἡλίῳ ἐκλάμψαντι, σεπτοὺς νεομάρτυρας, καὶ πιστοὺς καταυγάζοντας.

Οὐρανοὶ μὲν ἐπαξίως εὐφρανθήσονται, γῆ δὲ ἀγαλλιάσθω, ἑορταζέτω δὲ πόθῳ, ἡ Ἱδήρων Μονὴ εὐμοιρήσασα, μαρτυρικῶν λειψάνων θησαυροῦ ἀναφαιρέτου.

Θεοτοκίον.

Ἀναστάντα κατιδοῦσα τὸν υἱὸν καὶ Θεὸν, ἤσθης σὺν Ἀποστόλοις, Θεοχαρίτωτε ἁγνὴ, καὶ τὸ χαῖρε πρωτουργὸς ὡς πάντων χαρᾶς αἰτία εἰσδέδεξαι, Θεομῆτορ παναμωμε.

Τῶν Ἁγίων.

Δεῦτε ἔαρ πάντες νοητὸν, ἐν καιρῷ τοῦ τῆς φύσεως ἔαρος ἴδωμεν, τοὺς Νεομάρτυρας ὡς ἄνθη ὀρέγοντας ἡμῖν, θαυμάτων παράδοξα.

Νῦν πάντα πεπλήρωται φωτὸς, τῇ ἐγέρσει τοῦ κτίστου συνεκλαμπρυνόμενα· ἀλλ' ἑορτάζει φαιδρῶς, καὶ μνήμην τριῶν συναθλητῶν, πιστῶν ἡ ὁμήγυρις.

Βαΐα Εὐθύμιε χερσὶν, ὡς βραβεῖα κατέχων ἀκαταπτόητος, πρὸς τὴν σφαγὴν ἐν χαρᾷ, ἐπέδραμες ἔρωτι Χριστοῦ, σοφὲ πυρπολούμενος.

Τῷ ὅπλῳ σταυροῦ περιφραχθεὶς, ὥσπερ λέων ἐπέβης ἀγχόνῃ Ἅγιε, καὶ συμπλακεὶς τῷ ἐχθρῷ τὴν νίκην ἐξήγειρας λαμπρὰν, Ἰγνάτιε ἔνδοξε.

Χθὲς σὺ ἐνεκρώθης ὦ Χριστὲ, ὁ Ἀκάκιος κράζει ἀποτεμνόμενος· νῦν δὲ κἀγὼ διὰ σέ. Αὐτός με συνδόξασον Σωτὴρ, ἐν τῇ βασιλείᾳ σου.

Θεοτοκίον.

Θεὸν ὃν ἐκύησας σαρκὶ, ἐκ νεκρῶν καθὼς εἶπεν ἐξεγειρόμενον, Θεασάμενη ἁγνὴ, χόρευε καὶ τοῦτον ὡς Θεὸν, ἄχραντε μεγάλυνε.

Καταβασία. Δεῦτε πόμα πίωμεν.

Κοντάκιον τῆς ἑορτῆς. Εἶτα Κάθισμα.

Ἦχος ά. Τὸν τάφον σου Σωτῆρ.

Ὡς ἥλιος ὑμῶν, ἡ σεβάσμιος μνήμη, ἀνέτειλεν ἡμῖν, Νεομάρτυρες θεῖοι, Τριάδος ἰσάριθμοι, τοὺς πιστοὺς καταυγάζουσα· ἣν περ σήμερον, ἐπιτελοῦντες βοῶμεν, ἱκετεύσατε, ὑπὲρ ἡμῶν ἀθλοφόροι, τὸν μόνον φιλάνθρωπον.

Δόξα ἕτερον. Τὸν σοφίαν καὶ λόγον.

Τῶν βασάνων τὰ εἴδη τὰ χαλεπὰ, ὁσιόαθλοι θεῖοι καρτερικῶς, ὑμεῖς ὑπεμείνατε, γενναιόφρον Εὐθύμιε, καὶ Ἰγνάτιε θεῖε, τρισμάκαρ Ἀκάκιε· παρομοίοις τρόποις, λαμπρῶς ἐδοξάσθητε, θεραπεύειν τὰς νόσους μετὰ τέλος τὴν χάριν, ἐξ ὕψους ἐδέξασθε, τοῖς ἐν πίστει προστρέχουσι τῇ σορῷ τῶν λειψάνων ὑμῶν· πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην ὑμῶν.

Καὶ νῦν. Ἀναστασιμοθεοτοκίον.

Ἐκ τῶν κόλπων κατῆλθε τῶν πατρικῶν, ὁ μηδέποτε τούτους ἀπολιπών, ἠνώθη παχύτητι, τῆς σαρκὸς ὁ ἀόρατος, καὶ σταυροῦ τὸ πάθος, ἑκὼν κατεδέξατο· τοὺς νεκροὺς ἀνέστησε, νεκρώσας τὸν θάνατον. Ὅθεν τὴν

πηγήν σε, τῶν τοσούτων θαυμάτων ὑμνοῦντες βοῶμέν σοι, Θεοτόκε πανύμνητε· χαῖρε κλίμαξ οὐράνιε, καὶ γέφυρα παρθένε ἁγνὴ, πρὸς ζωὴν μετάγουσα τὸ ἀνθρώπινον· χαῖρε ᾄδου ἡ γύμνωσις Δέσποινα.

Ὠδὴ δ'. Ἐπὶ τῆς θείας φυλακῆς.

Ἐπὶ τῆς θείας φυλακῆς, στάντες οἱ μάρτυρες Χριστοῦ, ἔχοντες αὐτὸν ἐν καρδίᾳ, μετὰ πόθου ἔκραζον, αὐτῷ οἱ παμμακάριστοι σήμερον ἡμῖν σωτήρια Σῶτερ, εἴγε θανοῦμεν διὰ σὲ παντοδύναμε.

Ὁ ἐνιαύσιος ἀμνὸς, ὁ ἐκ παρθένου προελθών, στέφανον ἡμῖν νῦν παράσχου, διὰ σὲ πρὸς θάνατον σήμερον ἐπισπεύδουσιν, ἔκραζον τῷ ὡραίῳ ἐκ τάφου, οἱ Νεομάρτυρες Χριστῷ, ἡλίῳ λάμψαντι.

Ὁ θεοπάτωρ μὲν Δαυὶδ, πρὸ τῆς σκιώδους κιβωτοῦ, ἤλατο σκιρτῶν· ἡμεῖς δέ σοι προσφορὰ δι' αἵματος χαίροντες προσερχόμεθα, ὁρῶντές σε ἐκ τάφου ὡραῖον ἐξαναστάντα Χριστὲ, βοῶσιν οἱ Μάρτυρες.

Νάουσιν ἀθανασίας Νεομαρτύρων αἱ σοροὶ, ῥεῖθρα πρὸς Χριστοῦ, καὶ θαυμάτων πελάγη τοῖς κάμνουσι. Ψαύσωμεν ὀστέων νεκρῶν ἐν πίστει, καὶ κατίδωμεν θαῦμα τὴν εὐωδίαν αὐτῶν, ὄντως οὐράνιον.

Θεοτοκίον.

Ὃν ἀπεκύησας Χριστὸν, ὡραιοτάτως ἐκ νεκρῶν, λάμψαντα ἁγνὴ καθορῶσα, ἡ καλὴ καὶ ἄμωμος, ἐν γυναιξὶν ὡραία τε, σήμερον εἰς βροτῶν σωτηρίαν, σὺν Ἀποστόλοις αὐτὸν χαίρουσα δόξαζε.

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟ ΠΟΛΥΤΕΧΝΕΙΟ ΒΙΒΛΙΟΘΗΚΗ ΔΙΟΝΥΣΙΟΣ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

Καταβασία. Ἐπὶ τῆς θείας φυλακῆς.
Ὠδὴ έ. Ὀθρίσωμεν ὄρθρου βαθέος.

Ὀρθρίζομεν ὑμῶν τῷ τεμένει, Χριστὸν ὑμνοῦντες, τὸν ἐκ τάφου λάμψαντα ζωοδότην, ὑμᾶς θαυμαστώσαντα, καὶ δόξῃ στεφανώσαντα, ὦ Νεομάρτυρες ἔνδοξοι.

Τὴν ἄμετρόν σου παῤῥησίαν, Νεομαρτύρων τριὰς, δεδορκὼς ὁ τύραννος τῷ θανάτῳ, παρέδω, ἑλκόμενοι πρὸς ὃν, ἀγαλλομένῳ ποδὶ, πάσχα κροτοῦντες ἐδράμετε.

Προσέλθωμεν ἐν ταῖς βασάνοις, καὶ ἀντὶ μύρου τὸ αἷμα προσοίσωμεν τῷ Δεσπότῃ, ἐν τοῖς ἄθλοις ἔλεγον, οἱ σοφοὶ Νεομάρτυρες, πάσχα κροτοῦντες σφαττόμενοι.

Θεοτοκίον.

Οὐκ ἤνοιξας Παρθένου ἐν τῷ σαρκοῦσθαι, μνήματος οὐκ ἔλυσας τὰς σφραγῖδας, βασιλεῦ τῆς κτίσεως. Ὅθεν ἐξαναστάντα σε, θεασαμένη ἠγάλλετο.

Καταβασία. Ὀρθρίσωμεν ὄρθρου βαθέος.
Ὠδὴ ς'. Κατῆλθες ἐν τοῖς κατωτάτοις.

Κατῆλθες μαρτύρων τοῖς ἄθλοις τριὰς, καὶ συντρίψασα ἐχθροῦ τὰς παγῖδας, ἀνῆλθες εἰς οὐρανοὺς ἐν χαρᾷ, καὶ ὁ Κύριος, διαδήματι λαμπρῷ, ἐπέστεψέ σε τῆς νίκης.

Τῷ πόλῳ περιπολεύοντες ὑμεῖς, καὶ τῷ θρόνῳ τοῦ Χριστοῦ ἑστηκότες, πορφύραν ἠμφιεσμένοι λαμπρὰν, συνευφραίνεσθε, τῶν μαρτύρων τοῖς χοροῖς, καὶ ὁσίων τοῖς δήμοις.

Ποθοῦντες οἱ μάρτυρες φθάσαι Χριστὸν, ἐξελθόντες τοῖς ἄθλοις, μέχρι θανάτου ὄντως, κατηγωνίσαντο, καὶ διέῤῥηξαν, τὰς παγῖδας τοῦ ἐχθροῦ, ὡς ἱστὸν τῆς ἀράχνης.

Τελέσαντες δρόμον ἀθλήσεως λαμπρὸν, ἀνηνέχθητε ὄντως, εἰς μονὰς οὐρανίους, ὦ Νεομάρτυρες, καὶ εἰλήφατε τὸ διάδημα, λαμπρὸν, ἐκ χειρὸς τοῦ Δεσπότου.

Φοινίκων τοὺς κλάδους βραβεῖα ἐν χερσὶ, καὶ σταυρὸν ὥσπερ σκῆπτρον, καὶ ῥοὴν τῶν αἱμάτων πορφύραν φέροντες, συμπαρίστασθε, βασιλεύοντες Χριστῷ, Νεομάρτυρες Θεῖοι.

Φυλάξασι πίστιν Χριστοῦ, καὶ λαμπρὸν ἐκτελέσασι δρόμον, καὶ ἀγῶνα ὡραῖον ἀγωνισαμένοις, Νεομάρτυρες, ἠνεῴχθησαν ὑμῖν, παραδείσου αἱ πύλαι.

Θεοτοκίον.

Κατῆλθεν ἐν τοῖς κατωτάτοις τῆς γῆς, ὁ λαγόσι σου ἀγνὴ, κατελθὼν, καὶ οἰκήσας, καὶ σαρκωθεὶς ὑπὲρ νοῦν, καὶ συνήγειρεν, ἑαυτῷ τὸν Ἀδὰμ ἀναστὰς ἐκ τοῦ τάφου.

Καταβασία. Κατῆλθες ἐν τοῖς κατωτάτοις.
Κοντάκιον, Ἐπεφάνης σήμερον.

Ἐπεφάνη σήμερον τῇ ἐκκλησίᾳ, ἡ καινὴ πανήγυρις, τῶν ἀθλοφόρων τῶν τριῶν, δίκην φωστήρων αὐγάζουσα, τῶν ὀρθοδόξων Χριστὲ τὰ πληρώματα.

Ὁ Οἶκος.

Οἱ ἐν Ἄθῳ ἀσκοῦντες δεῦτε πάντες συνδράμωμεν καὶ

ΕΘΝΙΚΟΝ ΚΑΙ ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΟΝ ΒΙΒΛΙΟΘΗΚΗ ΣΧΟΛΗ ΓΕΩΡΓΙΟΥ ΠΑΠΑΣΤΡΑΤΟΥ

ἐν τῇ τοῦ Προδρόμου ἱερᾷ Σκήτῃ συνελθόντες κατίδωμεν θαύματα ξένα θείᾳ δυνάμει τερατουργούμενα. Εὑρήσομεν ἐκεῖ τρεῖς νέους ὁσιομάρτυρας, Εὐθύμιον, Ἰγνάτιον, καὶ Ἀκάκιον, οἵτινες, εἰ καὶ πρὸς ὥραν τῇ βίᾳ καθυπαχθέντες ἠρνήσαντο φεῦ! τὸν πάντων σωτῆρα Χριστὸν, ἀλλ' ὕστερον ἀσκητικοῖς ἑαυτοὺς ἐκδόντες καμάτοις, τὴν Κωνσταντίνου μετὰ βαΐων καὶ κλάδων στεφηφόροι καταλαβόντες, ὡς οἱ πάλαι ἀβραμιαῖοι τρεῖς παῖδες, κατὰ τῆς πλάνης ἠνδραγάθησαν· τὸν γὰρ τῆς Ἄγαρ ἀπάτης ψευδοπροφήτην ὡς ἀντίχριστον καταισχύναντες, τὴν ὀρθόδοξον πίστιν τῷ ἰδίῳ αἵματι αὐτῶν ἐστήριξαν καὶ ἐβεβαίωσαν, τὸν σωτῆρα Χριστὸν, Θεὸν καὶ ἄνθρωπον διατρανώσαντες. Ἔνθεντοι καὶ μακρὰ πελάγη διαπεράσαντες ἀδιάφθοροι, τόνδε τὸν ἱερὸν ναὸν ἐκληρώσαντο, τοῖς ἰδίοις τάφοις, καὶ τῇ σορῷ τῶν λειψάνων αὐτῶν. Καὶ νῦν ἰάσεις βραβεύοντες τοῖς ἐν πίστει προστρέχουσι, καταυγάζουσι τῶν ὀρθοδόξων τὰ συστήματα.

Μὴν Μάϊος, ἔχων ἡμέρας λά. κλπ. Εἰς τὴν ά.

Μνήμη τοῦ ἁγίου προφήτου Ἱερεμίου. Στίχοι.
Ψυχαὶ λιθώδεις καὶ ξέναι θείου φόβου,
Λίθοις ἀνεῖλον θεῖον Ἱερεμίαν.
Πρώτῃ ἐν Μαΐου λίθοις κτάνον Ἱερεμίαν.
Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῶν ἁγίων ἐνδόξων τριῶν ὁσιομαρτύρων Εὐθυμίου, Ἰγνατίου καὶ Ἀκακίου τῶν νέων. Στίχοι.
Εὐθύμιέ μοι, χαῖρε, χαῖρε, πολλάκις·
Σφαγεὶς γὰρ εὗρες τὴν ἄνω χαρὰν πρόφρων.

Τὸν Ἰγνάτιον ἄλλον ὡς ἄστρον βλέπω,
Ἐκ γῆς φαεινὸν, εἰς πόλον δι' ἀγχόνης·
Ἀρνὸς δίκην σφάττουσι, φεῦ! διὰ ξίφους
Τὸν κλεινὸν Ἀκάκιον, ἄνδρες αἱμάτων·
Τῇ πρώτῃ ὁσιάθλους τρεῖς ἀγλαοὺς ἅμα μέλπω.
Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις ὁ Θεός.

Ὠδὴ ζ'. Ὁ παῖδας ἐκ καμίνου ῥυσάμενος.

Γενναίως τὸν καλὸν διανύσαντες, ἀγῶνα Νεομάρτυρες, σώματος ὑμεῖς, τὴν τελευτὴν ἀλογήσαντες, νῦν παρίστασθε, χαίροντες ζῶντι Χριστῷ, τοῦ πάσχα τοῦ μυστικοῦ, ἐν οὐρανοῖς ἀεὶ γευόμενοι.

Θανάτου ἑορτάζομεν νέκρωσιν, Χριστοῦ τὴν ἀνάστασιν, ἄθλησιν σεπτὴν, Νεομαρτύρων τῶν σοφῶν, καὶ σκιρτῶντες ὑμνοῦμεν τὸν αἴτιον, τὸν μόνον εὐλογητὸν τῶν πατέρων, Θεὸν καὶ ὑπερένδοξον.

Ὡς ὄντως ἱερὰ καὶ πολύφωτος, αὕτη ἡ ὑπέρλαμπρος, μνήμη τῶν τριῶν Νεομαρτύρων σου Χριστὲ, καὶ θεία πέφυκε, πάντας εὐφραίνουσα, πιστοὺς ὑμνοῦντάς σε νῦν, τὸν τῶν πατέρων Θεὸν καὶ ὑπερένδοξον.

Ἀσμάτων ἱερῶν ἀναλάβωμεν, σάλπιγγα θεόφρονες, καὶ τὴν ἱερὰν, Νεομαρτύρων κροτοῦντες μνήμην εἴπωμεν· χαίρετε ἔσοπτρα νῦν, Τριάδος τὰ μυστικὰ καὶ ἡμῶν τῶν πιστῶν τὰ ἐντρυφήματα.

Θεοτοκίον.

Ὁ πάσης βασιλεύων τῆς κτίσεως, γενόμενος ἄνθρωπος, ᾤκησε τὴν σὴν Θεοχαρίτωτε νηδύν, καὶ σταυρὸν

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟ ΠΟΛΥΤΕΧΝΕΙΟ ΒΙΒΛΙΟΘΗΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

ὑπομείνας καὶ θάνατον, ἀνέστη θεοπρεπῶς, συνεγείρας ἡμᾶς ὡς παντοδύναμος.

Καταβασία. Ὁ παῖδας ἐκ καμίνου ῥυσάμενος.

Ὠδὴ ἡ. Αὕτη ἡ κλητή.

Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα, καθ' ἣν ὑμῶν κροτοῦμεν, τοῦ μαρτυρίου τοὺς ἄθλους. Ἑορτῶν ἑορτὴν ἐγκαινίζοντες ὑμῶν Νεομάρτυρες, ὑμνοῦμεν Χριστόν, ὡς Θεὸν εἰς τοὺς αἰῶνας.

Δεῦτε τὴν καινὴν τῶν μαρτύρων πανήγυριν, καιναῖς ὑμνολογίαις, πανηγυρίσωμεν σήμερον φιλέορτοι· ἐγκαινίζοντες Χριστοῦ τὴν ἀνάστασιν, ὑμνοῦμεν αὐτὸν, ὡς Θεὸν εἰς τοὺς αἰῶνας.

Φέρων ἐν χερσὶ τὸν σταυρὸν καὶ βαΐα, Εὐθύμιε τῷ ξίφει, τὴν κεφαλὴν ἀπτοήτως, ὑποκλίνας σοφὲ, βασιλείας τοῦ Χριστοῦ ἐκοινώνησας, κραυγάζων αὐτῷ, ὡσαννὰ εἰς τοὺς αἰῶνας.

Αρον κύκλῳ τοὺς ὀφθαλμούς σου τριὰς μαρτύρων καὶ ἴδε συνηγμένους τοὺς ἐκ ψυχῆς σε ποθοῦντας, καὶ ὡς φίλους ἡμᾶς ἀδελφούς τε καὶ οἰκέτας διάσωζε, ἀνυμνολογοῦντας, ὑμῶν τὴν θείαν μνήμην.

Θεοτοκίον.

Ὅλον καθελὼν τοῦ θανάτου τὸ κράτος ὁ Υἱός σου Παρθένε, ἐν τῇ αὐτοῦ ἀναστάσει, ὡς Θεὸς κραταιὸς, συνανύψωσεν ἡμᾶς καὶ ἐθέωσε. Διὸ ἀνυμνοῦμεν, αὐτὸν εἰς τοὺς αἰῶνας.

Καταβασία. Αὕτη ἡ κλητή.

Ὠδὴ θ'. Φωτίζου φωτίζου.

Σήμερον τῇ ἐγέρσει, Χριστοῦ τοῦ ζωοδότου ὡς ἥλιος ἐκλάμπει ἡ μνήμη τῶν μαρτύρων.

Φαιδρύνου ἡ σκήτη, ἡ τοῦ Σωτῆρος βαπτιστοῦ, τῶν σῶν τέκνων ἡ δόξα, σοὶ γὰρ ἀνατέταλκε· χόρευε φίλη, παιάνιζε σὺ, ὅτι σορούς τρεῖς Νεομαρτύρων, πηγὴν θαυμάτων ἐπλούτησας.

Μεγάλυνον ψυχή μου τοὺς τρεῖς ἀθλοφόρους, Χριστοῦ τοῦ ζωοδότου.

Ω θείας ὦ φίλης, ὦ γλυκυτάτης τελευτῆς, ἣν ὑπέστητε ὄντως, τῷ Χριστῷ μακάριοι, ὦ νεομάρτυρες ἔνδοξοι τρεῖς· οὓς οἱ πιστοὶ ἔχοντες προστάτας, οὐκ αἰσχυνθησόμεθα.

Μεγάλυνον ψυχή μου Εὐθύμιον τὸν μέγαν, σὺν ἅμα Ἰγνατίῳ, καὶ θείῳ Ἀκακίῳ.

Ω θείας ὦ φίλης, ὦ ὑποσχέσεως τερπνῆς, μεθ' ἡμῶν ἔτι ζῶντες, εἶναι ὑπεσχέθητε, φύλακες θεῖοι τοῦ βίου ἡμῶν, οὓς οἱ πιστοὶ πρέσβεις τῷ Κυρίῳ, προβάλλοντες ἀγαλλόμεθα.

Σήμερον τῇ ἐγέρσει, Χριστοῦ τοῦ ζωοδότου, ἡ μνήμη συναστράπτει, τριῶν Νεομαρτύρων.

Ω μάρτυρες θεῖοι, ὦ στρατιῶται τοῦ Χριστοῦ, ὦ τερπνὰ καὶ ὡραῖα, τῆς Τριάδος σφάγια, πόθῳ ὑμῖν, ἀναθέμενος νῦν τὴν ᾠδὴν, ὅλος ἐξαιτοῦμαι, τὴν μεθ' ὑμῶν συγκατοίκησιν.

Χαῖρε Παρθένε χαῖρε, χαῖρε εὐλογημένη, χαῖρε δεδοξασμένη· σὸς γὰρ Υἱὸς ἀνέστη τριήμερος ἐκ τάφου.

ΕΘΝΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΕΛΛΑΔΟΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΝΤΟΡΗΣ ΠΑΠΑΔΑΚΗΣ

Εὐφραίνου ἀγάλλου, ἡ θεία πύλη τοῦ φωτὸς, ὁ γὰρ δύνας ἐν τάφῳ, Ἰησοῦς ἀνέτειλε, λάμψας ἡλίου φαιδρότερον καὶ τοὺς πιστοὺς, πάντας καταυγάσας, θεοχαρίτωτε Δέσποινα.

Καταβασία. Φωτίζου, φωτίζου.
Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Ἀγάλλου τὸ πανάγιον, Ὄρος τοῦ Ἄθω σήμερον· τοῦ Βαστιστοῦ γὰρ ἡ σκήτη κροτεῖ πανήγυριν θείαν μάρτυρας νέους ἔχουσα τοὺς ἰδίους ὁσίους σου· δῴη σοι οὖν ἡ πάναγνος, καρποὺς τοιούτους προσφέρειν τῇ παναγίᾳ Τριάδι. Καὶ τῆς ἑορτῆς.

Εἰς τοὺς Αἴνους. Πᾶσα πνοή.
Ἱστῶμεν στίχους ἡ. Ἀναστάσιμον δίς· καὶ τῶν Ἁγίων ς'.
Ἦχος ά. Τῶν οὐρανίων ταγμάτων,

Τῶν ὀρθοδόξων τὰ πλήθη δεῦτε συνδράμετε· ἰδοὺ γὰρ νῦν ἐπέστη, ἑορτὴ λαμπροτάτη τριῶν Νεομαρτύρων, οἳ τὸν Χριστὸν, ἀναστάντα τοῦ μνήματος, ἀνακηρύξαντες, πλάνην τῶν δυσσεβῶν, κατὰ κράτος ἐξεφαύλισαν.

Οἱ τὴν καινὴν συγκροτοῦντες ταύτην πανήγυριν, Εὐθύμιος ὁ θεῖος, καὶ Ἰγνάτιός εἰσι, σὺν ἅμα Ἀκακίῳ, οἳ ὡς τριὰς, τῇ Τριάδι παρίστανται, μετὰ μαρτύρων ὁσίων ἀγγελικῶς, μελῳδοῦντες τὸ τρισάγιον.

Περιφλεγόμενοι ὄντως ὑμῶν τῷ ἔρωτι, τριὰς νεομαρτύρων, ὦ Εὐθύμιε θεῖε, Ἰγνάτιε στερρόφρον καὶ κλεινὲ, τοῦ Χριστοῦ μου Ἀκάκιε, ἰδοὺ συνήλθομεν πάντες μνήμην ὑμῶν, ἐκτελέσαι διὰ πίστεως.

Ἕτερα προσόμοια. Ἦχος δ'.
Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Αἶνον τῷ Θεῷ χαρμονικῶς, πᾶσαι μοναστῶν αἱ χορεῖαι, νῦν ἀναμέλψωμεν, ἐν τῇ μνήμῃ σήμερον τῶν ἀθλοφόρων Χριστοῦ, Εὐθυμίου τοῦ μάκαρος, σοφοῦ Ἰγνατίου, ἅμα Ἀκακίου τε, ἐνηθληκότων στερρῶς. Ὅθεν τοὺς στεφάνους καὶ γέρα ἔλαβον ἀξίως τῆς νίκης, καὶ ὑπὲρ ἡμῶν ἀεὶ πρεσβεύουσιν.

Οσιοι καὶ μάρτυρες Χριστοῦ, θαύμασιν αὐγάζετε κόσμῳ ἐξ ἀκενώτου πηγῆς, θήκης τῶν σεπτῶν ὑμῶν, λειψάνων ἔνδοξοι. Διὸ σήμερον ἅπαντες, τῷ θείῳ τεμένει, πόθῳ ἀθροιζόμενοι πανηγυρίζομεν, μνήμην τὴν ὑμῶν δυσωποῦντες, μνείαν πρὸς Θεὸν τοῦ ποιῆσαι, ὑπὲρ τῶν ὑμᾶς τιμώντων ἔνδοξοι.

Εστητε πρὸ βήματος στερρῶς, καὶ δικαστηρίων ἀνόμων ὁσιομάρτυρες, τὸν Χριστὸν κηρύττοντες Θεὸν καὶ ἄνθρωπον, καὶ τὴν πλάνην ἐλέγχοντες, Εὐθύμιε μάκαρ, Θεῖέ τε Ἰγνάτιε, στερρὲ Ἀκάκιε. Ὅθεν ἀφορήτους βασάνους, φέροντες καὶ μόνον στεφάνους, πρὸς Χριστοῦ ἀξίως ἀπειλήφατε.

Δόξα. Ἦχος πλ. ά.

Ιδοὺ δὴ τί καλόν, ἢ τί τερπνόν ψάλλει ὁ Δαβὶδ, ἀλλ' ἢ τὸ κατοικεῖν τοὺς ἀδελφοὺς ἅμα· ἰδοὺ γὰρ οἱ ἐκ διαφόρων μερῶν ὁρμηθέντες καὶ εἰς τόνδε τὸν χῶρον τοὺς ἀσκητικοὺς ἀνύσαντες ἀγῶνας, καὶ τὴν Κωνσταντίνου ἁγιάσαντες, τῇ ἐκχύσει τοῦ σεπτοῦ αὐτῶν αἵματος, καὶ ὡς Θεῖοι νεκροὶ μακρὰ πελάγη ἀδιάφθοροι περάσαντες, Τριάδος ἰσάριθμοι νεομάρ-

ΕΘΝΙΚΟΝ ΚΑΙ ΚΑΠΟΔΙΣΤΡΙΑΚΟΝ ΠΑΝΕΠΙΣΤΗΜΙΟΝ ΑΘΗΝΩΝ ΒΙΒΛΙΟΘΗΚΗ ΝΤΟΡΕΣ ΠΑΠΑΣΤΑΜΟΣ

τυρες, Εὐθύμιος, Ἰγνάτιος καὶ Ἀκάκιος, τόνδε τὸν ὡραῖον ναὸν κληρωσάμενοι, ἅμα οἰκοῦσιν ὡς ἀδελφοὶ ἐν πνεύματι, καλοί τε καὶ τερπνοὶ χρηματίζοντες, καὶ τῇ θήκῃ τῶν ἱερῶν λειψάνων, καὶ τῇ κόνει τῶν τάφων αὐτῶν, ἡμᾶς ἁγιάζοντες, πρεσβεύουσιν ἀπαύστως ὑπὲρ ἡμῶν πρὸς Κύριον.

Καὶ νῦν. Ἀναστάσεως ἡμέρα.
Δοξολογία μεγάλη καὶ ἀπόλυσις.

Εἰς τὴν λειτουργίαν τυπικά, καὶ ἐκ τῶν κανόνων τῶν Ἁγίων ᾠδὴ γ' καὶ ς'.

Ὁ Ἀπόστολος, Πράξεων τῶν Ἀποστόλων.

Κατ' ἐκεῖνον τὸν καιρὸν ἐπέβαλεν Ἡρῴδης ὁ βασιλεὺς τὰς χεῖρας.

Σημείωσαι ὅτι παρ' ὅλην τὴν Ν' Πράξεις ἀναγινώσκονται, καὶ οὐχὶ Ἐπιστολαί.

Εὐαγγέλιον ὡσαύτως τοῦ ἁγίου Γεωργίου.

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσονται δίκαιοι.

Προοίμιον ἐγκωμιαστικὸν εἰς τὸ μαρτύριον τῶν τριῶν νέων ἐνδόξων ὁσιομαρτύρων, Εὐθυμίου, Ἰγνατίου καὶ Ἀκακίου.

Εὐλόγησον Πάτερ.

Πάλιν νεοφανεῖς μάρτυρες εἰς τὴν ἐκκλησίαν τοῦ Χριστοῦ, καὶ πάλιν ἑορτὴ καὶ πανήγυρις, ἑορτή, πάντας συγκαλοῦσα πρὸς εὐφροσύνην μυστικήν, καὶ πάντας προτρέπουσα ν' ἀναβοήσωσι τῷ ἀθλοθέτῃ Χριστῷ· εἷς εἰς τοὺς αἰῶνας εὐλογημένος καὶ ὑπερένδοξος, ὁ καὶ τούτους τοὺς ἀθλητάς σου στερροὺς ἀναδείξας, φιλάνθρωπε Ἰησοῦ· πανήγυρις, ἥτις ἄθλους προτιθεμένη μαρτυρικοὺς, ἅπαντας καταστέφει ταῖς εὐλογίαις, καὶ τῷ πλήθει τῶν πνευματικῶν ἐδεσμάτων πλήρεις ἀπολύει

τοὺς συνελθόντας ἑορταστάς. Ἑορτάζομεν σήμερον, ἀδελφοί, τοὺς τρεῖς νέους ὁσιομάρτυρας, Εὐθύμιον, Ἰγνάτιον καὶ Ἀκάκιον, τοὺς χθὲς μεθ' ἡμῶν, καὶ σήμερον μετὰ Χριστοῦ, τοὺς χθὲς ἀθλίους, δυστυχεῖς, ἐλεεινούς, ἀρνησιχρίστους, καὶ σήμερον εὐτυχεῖς, ἐνδόξους, μακαρίους, φίλους Χριστοῦ καὶ ἐραστὰς προθυμοτάτους· Εὐθύμιον, τὴν κοινὴν τῆς ἐκκλησίας εὐθυμίαν, τὴν χαρὰν τοῦ οὐρανοῦ καὶ τοῦ ᾅδου τὴν σύγχυσιν· Ἰγνάτιον, τὸ ἀειθαλὲς κρίνον τῆς ὁσιότητος, τὸ εὐωδέστατον ῥόδον τῆς χάριτος, τὸ ὡραιότατον ἄνθος τῆς εὐσεβείας, καὶ τῶν ὀρθοδόξων τὴν κοινὴν δόξαν καὶ τὸ σεμνολόγημα· Ἀκάκιον, τὸν λογικὸν παράδεισον τοῦ Θεοῦ, τὸν πάσης ἀρετῆς τὰ φυτὰ ἐν ἑαυτῷ κεκτημένον· τὰ πολυανθῆ τῆς πίστεως βλαστήματα, τὰ τῆς ἐλπίδος ἀμαράντινα ἄνθη, τὰς τῆς ἀγάπης ἀκατασβέστους φλόγας, τοὺς τῆς ὑπομονῆς ἀσαλεύτους προβόλους, τοὺς τῆς ἐγκρατείας σταυροφόρους ὁπλίτας, τοὺς κατὰ τῶν ἀντιχρίστων ἀφόβους στρατηλάτας, τὰς τοῦ σταυρωθέντος Χριστοῦ οὐρανομήκεις παραφυάδας, τοὺς ἐν τῷ σώματι τὸν ἀσώματον τύραννον τροπωσαμένους μετὰ παντὸς τοῦ ἀποστατικοῦ αὐτοῦ στρατεύματος, τοὺς τῶν δαιμόνων φυγαδευτὰς καὶ τῶν διαβόλων τραυματιστὰς, τοὺς ἐν ἀσκήσει διαπρέψαντας, τοὺς ἐν μαρτυρίῳ προκόψαντας, καὶ ἐν θαύμασι μεγαλυνθέντας· τοὺς τὸν κόσμον καταλείψαντας, καὶ τὰ ἐν αὐτῷ πάντα σκύβαλα ἡγησαμένους, ἵνα Χριστὸν μόνον κερδήσωσι τὸν βασιλέα τῶν αἰώνων· τοὺς τὸν ἑαυτῶν σταυρὸν ἀδιστάκτως ἀραμένους καὶ τῷ Χριστῷ προθύμως ἀκολουθήσαντας, τοὺς ἀληθινοὺς αὐτοῦ μαθητάς. Χαίρετέ μοι τοίνυν Εὐθύμιε, τῶν πατέρων ἡ ἀκρότης, τῶν μαρτύρων ἡ στερρότης, τῶν ἐναρέτων ὁ διδάσκαλος, τῆς ἡσυχίας ὁ ἔνθερμος ἐραστὴς, καὶ τῶν μοναχῶν ὁ ἀλείπτης καὶ τὸ ἀγλάϊσμα. Χαῖρέ μοι Ἰγνάτιε, τὸ κλεῖθρον τῆς σωφροσύνης, ἡ ἀσφαλὴς θήκη τῆς παρθενίας, καὶ τὸ λαμπρὸν τῆς φρονήσεως θησαύρισμα. Χαῖρέ μοι Ἀκάκιε, τὸ ἀσφαλέστατον τῆς μετανοίας ὑπόδειγμα, τῆς ταπεινώσεως τὸ βάθος, τῆς κατανύξεως τὸ φρέαρ καὶ τῶν δακρύων ὁ ἀμέτρητος ὀχετὸς, ὁ ἀνίσχυρος τὸ σῶμα καὶ ἀνδρικώτατος

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΔΟΠΟΥΛΟΣ

τὴν ψυχήν. Χαίρετέ μοι Εὐθύμιε, ὁ μετὰ βαΐων καὶ κλάδων ὅλος φαιδρὸς καὶ πανένδοξος ἐπιῤῥίψας σεαυτὸν εἰς τὸν θάνατον, διαβῆναι θέλων πρὸς τὸν σὸν ἔρωτα Χριστὸν καὶ Θεόν, καὶ στάδιον ἀνοίξας μαρτυρίου λαμπρότατον τοῖς μετὰ σὲ ἐλθοῦσι συναθληταῖς. Χαῖρέ μοι ὦ Ἰγνάτιε, ὁ τῷ σχοινίῳ τῆς φρικτῆς σου ἀγχόνης τὸ μέγα κῆτος χειρωσάμενος καὶ ὅλον ἀποπνίξας τὸν διάβολον. Χαῖρέ μοι ὦ Ἀκάκιε, ὁ ἐν τῇ βασιλίδι τῶν ὡρῶν βασίλειον ἐπιχρώσας σεαυτῷ ἀλουργίδα τῇ ἐκχύσει τοῦ σεπτοῦ σου αἵματος, καὶ τῷ βασιλεῖ τῶν αἰώνων παραστὰς ὅλος ὑπέρλαμπρος. Χαίρετέ μοι οἱ τῆς παναγίας Τριάδος ἰσάριθμοι νεομάρτυρες, οἱ βοήσαντες καὶ μαρτυρήσαντες ἐν κόσμῳ τὴν θεότητα τοῦ Ἰησοῦ, καὶ λαβόντες ἐν οὐρανοῖς οὐρανίους στεφάνους, τὰ τῆς σκήτεως τῶν Ἰβήρων σεμνὰ ἐγκαλλωπίσματα, καὶ τοῦ ὄρους Ἄθω οἱ ὑψίκομοι φοίνικες καὶ οὐρανομήκεις κυπάρισσοι, ἡ τὴν καρδίαν διελθοῦσα τοῦ Σατὰν τρίστομος μάχαιρα, οἱ τὴν δαίμονος Ἄγαρ πλάνην ἰσχυρῶς καταβαλόντες καὶ τὴν ὀρθόδοξον πίστιν σαφῶς διατρανώσαντες, οἱ ὑπερεκπερισσοῦ ἀγαπήσαντες τὸν Χριστὸν, καὶ ὑπὲρ αὐτοῦ τὴν ψυχὴν προϊέμενοι, καὶ σὺν αὐτῷ βασιλεύοντες εἰς αἰῶνας αἰώνων. Ὦ! πῶς ὁ πόθος ἁρπάσας τὴν γλῶτταν καὶ νοῦν, ὡς ἵππος κατὰ πεδίον φέρεται βουλόμενος νὰ φθάσῃ τὸν περὶ τῶν ἐγκωμίων ἄφθαστον ὅρον τῶν ἁγίων, ἐπιλαθόμενος τῆς ἑαυτοῦ ἀδυναμίας τε καὶ ἀμαθείας! Διὸ ἀφέντες τὸν περὶ τῶν ἐγκωμίων λόγον ὡς ἀνέφικτον, τούς τε βίους αὐτῶν, καὶ τὴν μακαρίαν τελείωσιν ἑκάστου, σπεύσαντες, ὅσον εἶναι δυνατὸν, ἐξ ὧν αὐτοί τε τὰ ἐκείνων ἴσμεν καὶ ἄλλοι ἡμῖν διηγήσαντο, τοῖς μετὰ πόθου συνελθοῦσι πατράσι καὶ ἀδελφοῖς ἐν Χριστῷ, παραθήσομεν, τὸ πρὸς τοὺς ἁγίους ἐν μέρει πληροῦντες ἡμῶν ὄφλημα. Καὶ ἵνα καθ' εἱρμὸν ὁ λόγος προβαίνῃ, ἀρξώμεθα ὅθεν πρέπει, ὡς πρῶτον λαβόντες τὸν Εὐθύμιον, τὸ ἐμὸν καύχημα καὶ σεμνολόγημα, τὴν ἐμὴν εὐφροσύνην καὶ γλυκεῖαν φροντίδα, τὴν ἐμὴν παρηγορίαν καὶ παράκλησιν, τὸ ἐμὸν στέφος καὶ τὴν δόξαν· διότι ἐνσεμνύνομαι τοῖς ἐκείνου καλοῖς, καὶ συνόδοις ἀῤῥήτοις ὅλος ἐκείνῳ συμπλέκομαι, ἐφ' οἷς ἠνδραγάθησεν ἐπαιρόμενος.

Βίος καὶ μαρτύριον τοῦ ἁγίου ἐνδόξου νέου ὁσιομάρτυρος Εὐθυμίου τοῦ Πελοποννησίου,

ἀθλήσαντος ἐν Κωνσταντινουπόλει τῇ ᾳωιδ', μαρτίου κβ', τῇ κυριακῇ τῶν Βαΐων.

Εὐλόγησον Πάτερ.

Καλεῖ ἡμᾶς πρὸς νέαν πανήγυριν ὁ νέος τοῦ Χριστοῦ ὁσιομάρτυς Εὐθύμιος, καὶ ἡμεῖς ὡς θερμοὶ αὐτοῦ ἐρασταὶ ἐμβαίνομεν εἰς τὸ στάδιον τῆς διηγήσεως τῶν ἐνδόξων κατορθωμάτων καὶ τῆς λαμπρᾶς αὐτοῦ ἀθλήσεως, ἵνα καὶ τὰς ἐπιταγὰς, τὰς ὁποίας ἐλάβομεν περὶ τούτου, ἐκπληρώσωμεν, καὶ τοὺς συνελθόντας ἀδελφοὺς ἐν Χριστῷ καὶ Πατέρας πνευματικῶς δεξιωθῶμεν, καὶ τὸ πρὸς τὸν ἅγιον ἰδιαίτερον ἡμῶν ὄφλημα ἐν μέρει ἀποδώσωμεν, διηγούμενοι καὶ εἰς μέσον προβάλλοντες τὰ κατ' αὐτόν, εἰς δοξολογίαν τοῦ πάντων ἀνθρώπου; θέλοντος σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

Πατρίδα μὲν εἶχεν οὗτος ὁ νέος ἀριστεὺς τοῦ Χριστοῦ, ἀδελφοί, τὴν Πελοπόννησον, καταγόμενος ἐκ τῆς κώμης Δημιτζάνης, γονεῖς δὲ εὐσεβεῖς Παναγιώτην καὶ Μαρίαν ὀνομαζομένους, εἶχε δὲ καὶ τρεῖς μεγαλητέρους ἀδελφοὺς, Γεώργιον, Χρῆστον καὶ Ἰωάννην, καὶ μίαν ἀδελφὴν Αἰκατερίναν, ὧν αὐτὸς ὁ μικρότερος. Τοῦτον καθ' ὃν καιρὸν ἡ μήτηρ αὐτοῦ ἔμελλε νὰ γεννήσῃ, τόσους δριμυτάτους πόνους ὑπέφερεν, ὥστε δὲν ἐφανέρωνε τὴν εἰς τοῦτον τὸν κόσμον πρόοδόν του, εἰ μὴ μὲ τὸν θάνατον τῆς μητρός του, ὡς ἄλλος Βενιαμίν. Πάσχουσα δὲ τοσουτοτρόπως, καὶ σχεδὸν ἀπελπισθεῖσα ἀπὸ ἀνθρωπίνην βοήθειαν, ἐνεθυμήθη τὴν θείαν ἀντίληψιν, καὶ, Δέσποτα Χριστὲ, εἰποῦσα, διὰ τῶν πρεσβειῶν τοῦ ἁγίου ἱερομάρτυρος Ἐλευθερίου, ἐλευθέρωσόν με τὴν δούλην σου, καὶ τὸ γεννηθὲν παιδίον

ΕΘΝΙΚΟΝ ΚΑΙ ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΟΝ ΒΙΒΛΙΟΘΗΚΗ ΑΘΗΝΩΝ ΙΔΡΥΣΗ ΝΤΟΡΗΣ ΠΑΠΑΓΗ

νὰ τὸ ὀνομάσω Ἐλευθέριον, εὐθὺς μὲ τὴν εὐχὴν γεννᾷ τὸν θαυμάσιον τοῦτον, ὅστις δέχεται τὴν ὀνομασίαν παρὰ τῆς μητρὸς κατὰ τὴν εὐχὴν Ἐλευθέριος. Ἀνατρέφεται λοιπόν, καὶ αὐξάνει χαριέστατα, καὶ, ὅτε ἔφθασεν εἰς ἡλικίαν δεκτικὴν μαθήσεως, ἔβαλεν αὐτὸν ἡ μήτηρ του εἰς τὸ κοινὸν τοῦ χωρίου σχολεῖον, ἵνα μανθάνῃ τὰ ἱερὰ γράμματα. Ὁ δὲ πατήρ του μετὰ τῶν δύω μεγαλητέρων ἀδελφῶν ὑπῆγεν εἰς τὸ Ἰάσιον τῆς Μολδαυΐας, καὶ μετ' αὐτῶν ἐκεῖ ἐπραγματεύετο. Τυχὼν οὖν φύσεως ἀγαθῆς, ἔμαθεν εἰς ὀλίγον διάστημα τὰ κοινὰ λεγόμενα γράμματα, καὶ ἀνέβη εἰς τὸ μεγάλον σχολεῖον τῆς ἑλληνικῆς γλώσσης μετὰ τοῦ αὐταδέλφου του Ἰωάννου, ὅπου ἐδιδάσκετο τὴν γραμματικήν.

Ὀλίγα λοιπὸν τῶν ἱερῶν ἐκείνων μαθημάτων ἀκούσας, ἀναβαίνει μετὰ τοῦ ἀδελφοῦ του εἰς Κωνσταντινούπολιν, καὶ μικρὸν μαθητευθέντες ἀμφότεροι εἰς τὴν τοῦ Κουροῦ τζεσμὲ (ξηρᾶς κρήνης) λεγομένην σχολὴν, ὑπῆγαν εἰς τὸ Ἰάσιον πρὸς τὸν πατέρα των, καὶ μετὰ δύω χρόνους λαμβάνει ἐννοίας ἀγαθὰς, διὰ νὰ ἔλθῃ εἰς τὸ Ἅγιον Ὄρος νὰ γίνῃ μοναχός. Ὅθεν ἀναχωρήσας ἀπὸ τὸν πατέρα καὶ ἀδελφούς του, θέλων νὰ διέλθῃ τὴν Κωνσταντινούπολιν, ἐμποδίσθη ἀπὸ τὰς καιρικὰς τότε ἀνωμαλίας καὶ τοὺς μεταξὺ τῶν Ῥώσσων καὶ Τούρκων πολέμους, καὶ ἀπῆλθεν εἰς Ὀδησσὸν διὰ νὰ εὕρῃ δῆθεν ἀπὸ ἐκεῖ εὐκολωτέραν διάβασιν. Μὴ δυνηθεὶς δὲ νὰ ἐξέλθῃ καὶ ἀπὸ ἐκεῖ, ἀναβαίνει ὀπίσω, καὶ ἐρχόμενος εἰς Βουκουρέστιον τῆς Βλαχίας, ἔμεινε χρόνον ἕνα καὶ ἥμισυν παρὰ τῷ Προξένῳ τῆς Μαλλίας καί τινι ὑπαλλήλῳ Μαγγιόρῳ Ῥώσσῳ. Αὐτοῦ εὑρισκόμενος, δὲν ἐνθυμεῖται πλέον τὸ Ἅγιον Ὄρος, ἀλλὰ βλέπων ὅτι ὁ κόσμος, ἡ σὰρξ καὶ ὁ διάβολος τοῦ ἀνοίγουν θύραν ἀτάκτων καὶ ἀσέμνων ἡδονῶν, γίνεται ἔκδοτος εἰς αὐτὰς, καὶ χωρὶς νὰ διαστείλῃ τοῦτο ἢ ἐκεῖνο, κατακαίεται ὅλος ἀπὸ τὴν φλόγα τῆς νεανικῆς ἡδυπαθείας, καὶ ἔγινε θέατρον τῆς ἀθλιότητος καὶ ἁμαρτίας,. Ἀλλ' ἐπειδὴ πολλάκις διὰ νὰ τελεσθῇ ἡ ἁμαρτία θέλει καὶ ἔξοδα, ἐδανείζετο ὁ Ἐλευθέριος διὰ νὰ

καθυποβάλῃ ἑαυτὸν περισσότερον εἰς τὴν δουλείαν τῶν ἡδονῶν τῆς ἁμαρτίας.

Ἔτυχε δὲ τότε νὰ ἦναι ἐκεῖ εἰς Βουκουρέστιον καὶ οἱ ἀπὸ τὸ μέρος τῆς Τουρκίας Πρέσβεις τῆς εἰρήνης, πρὸς τοὺς ὁποίους ἀπελθὼν, ἐκολλήθη πρὸς ἕνα ἐκείνων, τοῦτο μὲν, ἵνα ἀπολαμβάνῃ ἀφόβως καὶ ἀφθονωτέρας τὰς ἡδονὰς καὶ τρυφὰς τοῦ Βουκουρεστίου, ἐν ὅσῳ ἐκεῖ εὑρίσκετο· τοῦτο δὲ, ὅπως δυνηθῇ μετ' αὐτοῦ νὰ ἀπέλθῃ καὶ εἰς Κωνσταντινούπολιν· διότι, καθὼς μᾶς διηγήθη, ὁ χορτασμὸς τῆς ἁμαρτίας ἐπροξένει εἰς αὐτὸν καὶ ἀηδίαν τὸ ὕστερον, καὶ τοῦτο εἶναι ἀληθὲς, καθὼς τὸ ἐπιβεβαιοῖ καὶ ὁ θεῖος Ἰωάννης τῆς Κλίμακος.

Μετ' ὀλίγον οὖν καιρὸν καταβάντες οἱ Πρέσβεις εἰς Σούμλαν, ἐχρονοτρίβουν ἐκεῖ διὰ τὰς περιστάσεις. Εὑρισκόμενος ἐκεῖ ὁ Ἐλευθέριος, ἐλυπεῖτο διὰ τὴν σκληρότητα τοῦ αὐθέντου του Καπουτζῆ. Βαρυνθεὶς δὲ διὰ τὴν βραδύτητα τῆς ὁδοιπορίας του, παρακινηθεὶς παρά τινος συνοδοιπόρου του Ἀδριανουπολίτου ἀρνησιχρίστου, πρώην Κωνσταντίνου λεγομένου, ὁ Ἐλευθέριος, ἀπῆλθε μετ' αὐτοῦ αὐτοθελήτως εἰς τὸν Ῥαὶς Ἐφένδην Γαλήπην καλούμενον, ὄντα ἐκεῖ, καὶ ἠρνήθη φεῦ! τὸν Χριστὸν, καὶ ἐδέχθη τὴν πλάνην τοῦ Μωάμεθ, καὶ μετὰ τρεῖς ἡμέρας περιετμήθη κατὰ τὸν νόμον τοῦ ἐπαράτου καὶ πλάνου!

Ἐξώμοσε μὲν ὁ Ἐλευθέριος, ἀλλ' ἡ χάρις ἀπὸ αὐτὸν παντελῶς δὲν ἀνεχώρησεν. Ὅθεν εὑρισκόμενος εἰς τοὺς ἀφορήτους πόνους τῆς περιτομῆς, ἐνθυμεῖτο πάλιν τὴν πάτριόν του θρησκείαν καὶ εὐσέβειαν, ἀναπολῶν εἰς τὸν νοῦν τὸ ὄνομα τοῦ γλυκυτάτου Ἰησοῦ Χριστοῦ, καὶ ἀναμιμνησκόμενος τοῦ οὐρανίου πατρὸς, ὡς ὁ ἄσωτος υἱός. Καὶ ἤθελε μὲν νὰ ἐπικαλεσθῇ τὴν θείαν αὐτοῦ βοήθειαν, ἀλλ' ἐμποδίζετο, καὶ δὲν ἠδύνατο, διότι ἔλαβε τὸ χάραγμα τῆς σφραγῖδος τοῦ νοητοῦ ἀντιχρίστου καὶ εἰς τὴν δεξιάν του χεῖρα καὶ εἰς τὸ μέτωπον, καὶ δὲν ἐδύνατο οὔτε χεῖρας ὁσίας νὰ ἄρῃ εἰς τὸν οὐρανὸν, οὔτε τὸν ἡγεμόνα νοῦν νὰ διευθύνῃ πρὸς τὸ τρισήλιον σέλας τῆς θεότητος. Ὅθεν καταφεύγει εἰς μόνα τὰ δάκρυα, καὶ εὐθὺς ὅτε

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟΝ ΠΟΛΥΤΕΧΝΕΙΟΝ ΔΗΜΗΤΡΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΚΑΙ ΚΕΝΤΡΟ ΠΛΗΡΟΦΟΡΗΣΗΣ ΓΕΩΡΓΙΟΣ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΑΣΟΠΟΥΛΟΣ

ἤκουσε τὸν ἀλέκτορα τῆς συνειδήσεως φωνοῦντα καὶ ἐλέγχοντα αὐτὸν διὰ τὸ τόλμημα τῆς ἐξωμόσεως, ἐξῆλθεν ἔξω μὲ τὸν νοῦν του ἀπὸ τὴν αὐλὴν τῆς παρανόμου καὶ ἀθέου ἐκείνης θρησκείας, εἰς τὴν ὁποίαν τότε εἶχεν εἰσέλθει, καὶ ἔκλαυσε πικρῶς ὡς ἄλλος Πέτρος. Τοσαῦτα δὲ ἦσαν ἐκεῖνα τὰ δάκρυα, ὥστε θαρρῶ εἰπεῖν, ὅτι τὰ ἐδέχθη ὁ φιλόψυχος Ἰησοῦς, καὶ ἀντεσήκωσε τὴν προλαβοῦσαν ἄρνησιν τοῦ Ἐλευθερίου, ὡς καὶ τοῦ πρωτοκορυφαίου Πέτρου.

Ἔμεινε λοιπὸν μετὰ τῶν ἀσεβῶν ἐκείνων ὁ φαινόμενος Ἐλευθέριος, οὐχὶ δὲ καὶ νοούμενος· διότι ἔχων ὅλον του τὸν νοῦν πρὸς τὴν ἔννοιαν τῆς ἀρνήσεως, ἄλλως ἐδεικνύετο παρὰ ὅπως ἔπρεπε νὰ φαίνηται. Διὸ καὶ ὑποπτευόμενοι τὴν φυγήν του οἱ Ἀγαρηνοί, οὐ μόνον δὲν τῷ ἔδιδαν ἄδειαν νὰ ἐξέρχηται ἀπὸ τὸν σατανικὸν ἐκεῖνον οἶκον, ἀλλὰ καὶ τὸν παρεφύλαττον, παρατηροῦντες τοὺς λόγους καὶ τὰ κινήματά του. Ὅθεν μίαν ἡμέραν ἰδόντες ἐπάνω του ἕνα μικρὸν σταυρόν, τὸν ὁποῖον πρὸ τῆς ἐξωμόσεως εἶχε καὶ ἐφύλαττεν εἰσέτι ὡς ἓν σημεῖον τῆς προτέρας του εὐσεβείας, ἢ μᾶλλον εἰπεῖν, ὡς μάχαιραν κεκρυμμένην, ἵνα συντρίψῃ ὕστερον μὲ αὐτὸν τὰς παγίδας τοῦ διαβόλου, καὶ ἐλευθερωθῇ ἀπὸ τὰς χεῖρας τῶν ἀθέων, ὡς στρουθίον ἐκ τῆς παγίδος τῶν θηρευόντων, τὸν ἐπῆραν εὐθὺς οἱ ἀσεβεῖς ἐκεῖνοι σύνδουλοί του, καὶ τὸν ἔδειξαν εἰς τὸν Ῥαὶς Ἐφένδη, ἐγκαλοῦντες τὸν Ἐλευθέριον, ὅτι ἐφρόνει ἀκόμη τὰ τῶν Χριστιανῶν. Ὁ δὲ ἀξιογέλαστος ἐκεῖνος Ἐφένδης τοὺς ἔπεισε μὲ λόγους σοφούς, ὅτι δὲν ἦτο διὰ τοῦτο ἀξιοκατάκριτος ὁ Ῥεσίτης (οὕτω τὸν ὠνόμασαν), ἂν ἀκόμη κρατεῖ τὰ χριστιανικὰ σημεῖα· διότι πῶς ἠδύνατο αὐτὸς εἰς διάστημα ἡμερῶν ὀλίγων νὰ αἰσθανθῇ τὴν γλυκύτητα τῆς πίστεώς των; Τοῖς εἶπε δὲ νὰ ἀφήσωσιν αὐτόν, ἕως μὲ τὸν καιρὸν νὰ ἔλθῃ εἰς θεογνωσίαν· (ὢ τῆς μωρίας! ἀντὶ εἰς μισοθείαν). Μὲ τοιούτους λόγους ἡσύχασεν ὁ μάταιος ἡγεμὼν τοὺς ἀσεβεῖς ἐκείνους. Μετὰ δὲ μῆνας τέσσαρας τῆς εἰς Σούμλαν διατριβῆς των, ἦλθον εἰς Ἀδριανούπολιν, καὶ, ἐπειδὴ ἔβλεπε τὰ θηρία ἐκεῖνα μᾶλλον ἢ ἀν-

θρώπους τοῦ Ῥαὶς Ἐφένδη ὅτι ἐζηλοτύπουν διὰ τὴν περιποίησιν, τὴν ὁποίαν ἐκεῖνος ἔδειχνε πρὸς τὸν Ἐλευθέριον, καὶ ἐμνησικάκουν ὡς δῆθεν ζηλωταὶ τῆς θρησκείας των διὰ τὸν σταυρόν, περὶ οὗ προεἴπομεν, εἶχεν ὁ Ἐλευθέριος φόβον καὶ ἀγωνίαν, ὑποπτευόμενος, μήπως ἤθελον τὸν φονεύσει καθ' ὁδόν, καὶ ἀποθάνει (φεῦ!) εἰς τὴν ἄθεον ἐκείνην θρησκείαν. Ὅτε δὲ ἔφθασεν ἡ ἄπιστος ἐκείνη καὶ μιαρὰ παρεμβολὴ εἰς Ἀδριανούπολιν, ἔτυχε νὰ ἦναι ἡ ἡμέρα σάββατον, καὶ ἡ ὥρα ἐκείνη, καθ' ἣν οἱ χριστιανοὶ ἀφίνοντες τὰς ὑπηρεσίας των καὶ ἐργασίας, συντρέχουσιν εἰς τὰς ἐκκλησίας, ἵνα ἀκούσωσι τὸν ἑσπερινὸν εἰς ὕμνον τοῦ ἐκ νεκρῶν ἀναστάντος Χριστοῦ. Τότε δὴ καὶ ὁ Ἐλευθέριος λαθὼν τὸ ἄπιστον ἐκεῖνο πλῆθος, ἔδραμεν εἰς τὴν μητρόπολιν τῆς πόλεως ἐκείνης. Ἦτο δὲ ἀρχιερεὺς ὁ ὕστερον προβιβασθεὶς πατριάρχης Κωνσταντινουπόλεως, ὁ καὶ μαρτυρικοῦ τέλους ἀξιωθεὶς ἐν τῷ καιρῷ τῆς ἐπαναστάσεως ἐν τῇ αὐτῇ πόλει μετὰ τὴν ἀπὸ τῆς πατριαρχείας παραίτησιν, ἱερομάρτυς Κύριλλος. Μαθὼν ὁ Ἐλευθέριος, ὅτι ὁ ἐπίσκοπος εὑρίσκετο εἰς τὴν ἐκκλησίαν, ψάλλων τὸν ἑσπερινόν, ὡς εἴπομεν, ἦλθε καὶ ἔστη ἔξωθεν τοῦ ναοῦ. Καὶ ἰδὼν τὸν ἱεροδιάκονον θυμιῶντα τοὺς πιστούς, ἐπληγώθη τὴν καρδίαν, στοχαζόμενος, ὅτι αὐτὸς μόνον ἐστερεῖτο τῆς χάριτος τοῦ θυμιάματος. Μόλις οὖν δυνηθεὶς νὰ κρατήσῃ ἑαυτόν, ἐπροσποιήθη, ὅτι ἤρχετο ἀπὸ Κωνσταντινούπολιν καὶ εἶχε γράμματα ἀναγκαῖα πρὸς τὸν Δεσπότην, καὶ ἐζήτει ἀφεύκτως τὴν συντυχίαν του. Μαθὼν δὲ ὁ ἀρχιερεὺς ταῦτα διὰ τοῦ διακόνου, δὲν ἐξῆλθε τοῦ ναοῦ εἴτε διὰ τὸν ἑσπερινόν, εἴτε καὶ δι' ἄλλην τινὰ ὑποψίαν, ἀλλ' ἀπέστειλε τὸν ἐπίτροπον τῆς Ἐκκλησίας ἵνα μάθῃ τὰ περὶ τοῦ ζητοῦντος, καὶ λάβῃ δῆθεν τὰ γράμματα. Τοῦτον ἰδὼν ὁ Ἐλευθέριος, εἶπε καθ' ἑαυτόν, ὅτι τοῦτο εἶναι τῆς ἀποτυχίας του. Παραμερίσας δὲ ὀλίγον, διηγήθη εἰς τὸν ἐπίτροπον παροδικῶς τὴν ἐξάρνησίν του, καὶ ὅτι ἐζήτει βοήθειάν τινα, ἥτις συνίστατο εἰς τὸ νὰ δοθῶσιν αὐτῷ ἐνδύματα χριστιανικά. Ὁ δὲ ἐπίτροπος ἀκούσας ταῦτα, ἢ ἀπὸ φόβον ὡς ἀκούων καὶ βλέπων τὰ στρατεύματα τῶν ἀσεβῶν εἰσερχόμενα

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟΝ ΠΟΛΥΤΕΧΝΕΙΟΝ ΒΙΒΛΙΟΘΗΚΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

εἰς Ἀδριανούπολιν, ἢ καὶ ἀπὸ φυσικήν του βαρβαρότητα καὶ σκληρότητα ἐναντιούμενος εἰς τὴν αἴτησιν τοῦ Ἐλευθερίου, ἔβαλε φωνὰς ἀτάκτους (ἀντὶ τοῦ παρηγορῆσαι καὶ περιθάλψαι τὸ πλανώμενον τοῦ Χριστοῦ πρόβατον), καὶ ἀπεδίωξεν αὐτὸν ἐκεῖθεν. Τούτου αἱ κραυγαὶ κατάφοβον καὶ ἔντρομον ἐποίησαν τὸν Ἐλευθέριον, μήπως ἤθελε πάθει καὶ ἄλλο τι πρὸς τοῖς ἄλλοις δεινοῖς. Ὅθεν ὑπέστρεψεν ὀπίσω μὲ δάκρυα εἰς τοὺς ὀφθαλμοὺς καὶ κατάπικρος τῇ καρδίᾳ. Ἀποτυχὼν λοιπὸν τούτου, ἔδραμεν εἰς ἄλλον μέσον στοχασμόν. Καὶ μίαν ἡμέραν ἰδών τινα χριστιανὸν ὁπλοποιὸν κατὰ τὸ ἐπιτήδευμα, τῷ διηγήθη ὀλίγον τὴν κατάστασίν του, καὶ τὸν παρεκάλεσε νὰ τῷ φέρῃ ἐνδύματα χριστιανικὰ εἰς διωρισμένην ὥραν. Ὁ δὲ καλὸς ἐκεῖνος χριστιανὸς ἡτοίμασε τὰ φορέματα, καὶ τὰ ὑπῆγε, καθὼς διωρίσθη. Ἀλλ' ἐκ συνεργείας τοῦ πονηροῦ ἀπέτυχε καὶ αὐτοῦ τοῦ σκοποῦ ὁ Ἐλευθέριος, μὴ δυνηθεὶς νὰ λανθάσῃ τὸ ἀσεβὲς ἐκεῖνο καὶ ἄτακτον πλῆθος. Ὅθεν ἐτιτρώσκετο ἡ καρδία του ἀπὸ λύπην ἀνυπέρβλητον, καὶ πάντοτε στυγνὸς καὶ ἀμειδὴς ἐφαίνετο. Ὅθεν καὶ οἱ σύνδουλοί του θεωροῦντες αὐτὸν οὕτω περίλυπον ὄντα, οἱ μὲν ὠνείδιζον αὐτὸν, οἱ δὲ ἐσπούδαζον παντοιοτρόπως νὰ τὸν φέρωσιν εἰς εὐθυμοτέραν κατάστασιν, καὶ ἀποδιώξωσι τὴν λύπην ἀπὸ αὐτὸν, ἥτις ἐφαίνετο ζωγραφημένη εἰς τὸ πρόσωπόν του. Διότι κατὰ τὸν Σολομῶντα· « Καρδίας εὐφραινομένης, τὸ πρόσωπον θάλλει, ἐν δὲ λύπαις « σκυθρωπάζει ». Ὁ δὲ ἀσεβὴς ἐκεῖνος αὐθέντης του Ῥαὶς Ἐφένδης, βλέπων αὐτὸν οὕτω σκυθρωπὸν, σύννουν, καὶ δακρύοντα πολλάκις, τί μὲν δὲν ἔλεγε, τί δὲ δὲν ἔπραττε, τί δὲ δὲν τῷ ὑπέσχετο, διὰ νὰ λύσῃ τὴν λύπην του; Ἀλλ' ὁ Ἐλευθέριος ὑπεκρίνετο, ὅτι διὰ τὴν μητέρα του ἐλυπεῖτο, ἔλεγε δὲ τὸ τοῦ Δαυίδ· « Οἱ νεφροί μου ἐξεκαύθησαν καὶ ἠλλοιώθησαν τῇ « ἀρνήσει σου, Χριστέ! »

Διέτριψαν λοιπὸν εἰς Ἀδριανούπολιν ὑπὲρ τοὺς τρεῖς μῆνας, καὶ μετὰ ταῦτα ἦλθον εἰς Κωνσταντινούπολιν. Ὀλίγον δὲ ὁ λόγος ἔλειψε νὰ παραδράμῃ, ὅτι εὑρισκόμενος ὁ Ἐλευθέριος

εἰς Βουκουρέστιον, ἐγνωρίσθη καὶ ἐφιλιώθη καὶ μετὰ τοῦ ὁσιομάρτυρος Ἰγνατίου ἐκεῖ, ὅστις ἐλθὼν εἰς Σούμλαν διὰ τὴν τότε ἀνάγκην, καὶ κρατηθεὶς ἀπὸ τοὺς Ἀγαρηνοὺς, φοβηθεὶς ἔδωκε λόγον ἐξωμόσεως. Πλὴν τὰ κατ' αὐτὸν μένουσιν εἰς ἄλλην διήγησιν· νῦν δὲ εἰς τὰ λοιπὰ τῆς διηγήσεως ἂς ἐπανέλθωμεν.

Ὁ Ἐλευθέριος λοιπὸν ἐκρατεῖτο εἰς τὸν οἶκον τοῦ Ῥαὶς Ἐφένδη, ὅστις υἱὸν αὐτοῦ θετὸν ἐκάλει καὶ ὑπέγραφε, καὶ διὰ παντοίων τρόπων καὶ μηχανῶν ἐσπούδαζε νὰ φέρηται παρηγορητικὸς πρὸς αὐτὸν, ὡς εἴρηται, ἀλλὰ δὲν ἐσυγχώρει εἰς αὐτὸν νὰ ἐξέρχηται τῆς οἰκίας αὐτοῦ. Ὅθεν οὕτω βλέπων ἑαυτὸν περιεστοιχισμένον καὶ φυλαττόμενον ὁ Ἐλευθέριος, κατέφυγεν εἰς τὴν ἀντίληψιν τῆς Θεοτόκου, τῆς κοινῆς τοῦ γένους τῶν χριστιανῶν προστάτιδος, καὶ ἐγγυητρίας τῶν ἁμαρτωλῶν, ὡς ἄλλη ὁσία Μαρία Αἰγυπτία, καὶ ἔλεγε δεόμενος· Γενοῦ μοι ἐγγυητὴς πρὸς τὸν υἱόν σου, ὦ Δέσποινα, τὸν ὁποῖον ὁ τάλας ἠρνήθην, καὶ ἀνάγαγέ με ἐκ τοῦ βυθοῦ τῆς ἀπωλείας ταύτης, « ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου· ἐνεπάγην εἰς ἰλὺν « βυθοῦ, καὶ οὐκ ἔστι μοι ὑπόστασις »· δός μοι χεῖρα βοηθείας, ὦ Δέσποινα, κειμένῳ χαμαί, καὶ ἀνάγαγέ με ἐκ τοῦ βυθοῦ τῆς ἀπωλείας· λύτρωσαί με ἐκ τῆς τυραννίδος τοῦ διαβόλου, ἡ λυτρώσασα τὸ ἀνθρώπινον γένος καὶ περιχαρῶς δεχομένη τὰ δάκρυα καὶ τὴν μετάνοιαν τῶν ἁμαρτωλῶν. Τοιαῦτα συνεχῶς βοῶντι ἀλαλήτως πρὸς τὴν Θεοτόκον, τῷ ἦλθεν ἐξ ὕψους βοήθεια, καὶ ἔλαβε τοσαύτην τόλμην καὶ ἀνδρείαν παρὰ τῆς Θεομήτορος, ὥστε ἀπεφάσισεν ἤ, ἂν δυνηθῇ, νὰ ἀναχωρήσῃ ἀπὸ τὸν σατανικὸν ἐκεῖνον οἶκον, ἢ τέλος πάντων νὰ παρρησιάσῃ ἑαυτὸν χριστιανὸν, καὶ νὰ λάβῃ τὸν ὑπὲρ Χριστοῦ θάνατον. Μετὰ δὲ ἡμέρας δέκα τῆς εἰς Κωνσταντινούπολιν ἀφίξεώς του τὸ ἑσπέρας οὕτως ἐμελέτησε καθ' ἑαυτὸν καὶ ἀπεφάσισεν, ὡς εἴπομεν, ἐπικαλούμενος εἰς βοήθειαν τὴν Θεοτόκον. Ἀλλ' ὁ σατανᾶς τῷ ἔστησε παγίδα νέαν μικρὰν μὲν φαινομένην, ἀλλὰ μεγάλην οὖσαν κατὰ ἀλήθειαν. Ἡ δὲ ἦτο ἡ φιλοδοξία, διὰ τῆς

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟ ΠΟΛΥΤΕΧΝΕΙΟ ΒΙΒΛΙΟΘΗΚΗ ΚΑΙ ΚΕΝΤΡΟ ΠΛΗΡΟΦΟΡΗΣΗΣ ΒΙΒΛΙΟΘΗΚΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Δαβιτικῆς ἐκ βασιλίδος βλαστήσασα, συγγενείας τὸν παμβασιλεύοντα, καὶ πρὸ αἰώνων ἐκ τοῦ πατρὸς, Λόγον ἀπορρήτως, καὶ ὑπὲρ νοῦν ἀναλάμψαντα, ἐγέννησας Παρθένε. Θεοτόκον διό σε, καὶ ὡς μητέρα τοῦ κτίστου δοξάζομεν.

Ὠδὴ έ. Ἵνα τί με ἀπώσω.

Ἵνα τῶν αἰωνίων ὄντως ἀγαθῶν κληρονόμος ὑπάρξειας, οὐκ ἐφείσω μάκαρ τοῦ ἰδίου Γεώργιε σώματος, ἀλλ' αὐτῷ προθύμως, καὶ τὴν ψυχὴν συναπολέσω, ὡς τὸ πρὶν ὁ Χριστὸς ἀπεφήνατο.

Τῶν μαρτύρων ἐγένου, σὺ ἀκαταγώνιστος, ἔνδοξε σύναθλος, καὶ τοῦ μαρτυρίου, τὸν ἰσότιμον στέφανον εἴληφας. Ὅθεν τῇ τριάδι παρεστηκώς σὺν τούτοις μάκαρ, ὑπερεύχου ἡμῶν τῶν ὑμνούντων σε.

Τῆς πατρίδος ἐγένου, πόθῳ μετανάστης, Θεόφρων Γεώργιε, ἵνα ἀπολαύσῃς ὅπερ θεῖον ἀπώλεσας βάπτισμα· ὃ καὶ ἐνεδύσω, Θείᾳ προνοίᾳ τοῦ Κυρίου, διὰ τοῦ μαρτυρίου νεόαθλε. Θεοτοκίον.

Στρατηγίαι τῶν ἄνω, Πάναγνε δυνάμεων σὲ μακαρίζουσι· γενεαὶ δὲ πᾶσαι τῶν ἀνθρώπων ἀξίως δοξάζουσι· διὰ σοῦ γὰρ μόνης οἱ ἐπὶ γῆς τοῖς οὐρανίοις, συναφθέντες ὑμνοῦμεν τὸν τόκον σου.

Ὠδὴ ς'. Ἱλάσθητί μοι Σωτήρ.

Τῆς Χίου μάκαρ ἐκφὺς, Χριστοῦ θεράπων ἐτύγχανες, ἐν χριστουπόλει δ' αὐτῇ νέος ὢν ἐξέκλινας· τούτῳ δ' αὖθις ὕστερον, ἐν ταῖς Κυδωνίαις, ὑπετάγης δι' ἀθλήσεως.

Εἰ καὶ τὸ πρὶν τὸν Χριστὸν ἠρνήσω, φεῦ! ἐν νεότητι, ἐν ἡλικίᾳ δ' ἐλθὼν, αὖθις ὡμολόγησας, καὶ υἱὸν τοῦ ἅπαντας, σώζειν δυναμένου, Θεοῦ τοῦτον ἀνεκήρυξας.

Ὡς παῤῥησίας τυχὼν πρὸς τὸν Χριστὸν τὸν φιλάνθρωπον, σφαγιασθεὶς ὡς ἀμνὸς, ὑπὲρ τούτου Ἅγιε, ὑπὲρ τῆς τιμώσης σε, πόλεως δυσώπει, τοῦ ῥυσθῆναι πάσης θλίψεως. Θεοτοκίον.

Κλῆσίς σου ἀληθῶς, ψυχῶν ὑπάρχει καθάρσιον,

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟ ΠΟΛΥΤΕΧΝΕΙΟ ΒΙΒΛΙΟΘΗΚΗ ΔΗΜΗΤΡΙΟΣ ΝΤΟΡΗΣ ΠΑΠΑΔΟΠΟΥΛΟΣ

καὶ ῥυπαρῶν λογισμῶν, ἔφυ ἱλαστήριον, καὶ φυγαδευτήριον, πονηρῶν δαιμόνων, Θεοτόκε ἀειπάρθενε.

Κοντάκιον. Ἦχος γ'.
Ἡ Παρθένος σήμερον.

Ὡς ἀρνίον ἄκακον, πρὸς τὴν σφαγὴν ἠκολούθεις, τὸν αὐχένα ἔκλινας, ἐθελουσίως τῷ ξίφει. Ἄνωθεν ὁ στεφοδότης στέφει τὴν κάραν, πλήθη δὲ Κυδωνιέων λαμπροφοροῦντες, ἐκτελοῦσι τὴν σὴν μνήμην, χιοπολῖτα γενναῖε Γεώργιε. Ὅμοιον.

Ἑωσφόρος ἔλαμψεν, ἐν τοῖς ἐσχάτοις αἰῶσι, ἡ σεπτή σου ἄθλησις, Γεώργιε νεομάρτυς, ἅπαντας καταφωτίζουσα ὀρθοδόξους· πίστει τε καὶ ἐν ἀγάπῃ σοι προσιόντας, καὶ θερμῶς ἀναβοῶντας, σὺ εἶ μαρτύρων Χριστὲ ἀγαλλίασμα.

Ὁ οἶκος.

Δεῦτε οἱ πιστοὶ ἅπαντες τὸν τοῦ Χριστοῦ νεομάρτυρα Γεώργιον, ἐν ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς ἑορτάσωμεν, καὶ φαιδρῶς πανηγυρίσωμεν· οὗτος γὰρ ὁ ἀοίδιμος, ἐν τῇ παιδικῇ ἡλικίᾳ ὑπάρχων, ἐκβιασθεὶς ἠρνήθη, φεῦ, τὸν Χριστόν· οὐκ ἐνέμεινε μέν τοι ἐν τῇ ἀπιστίᾳ ὡς νουνεχής, ἀλλὰ γνωρίσας τὴν ἑαυτοῦ ἀπάτην, ἔζη ὀρθοδόξως, φρονῶν τὰ ἡμέτερα, καὶ διάγων χριστιανικῶς· διαβληθεὶς δὲ παρά τινος ὡς ἐξωμότης, ἤχθη εἰς ἐξέτασιν, καὶ μὴ θελήσας ἀρνήσασθαι τὴν εὐσέβειαν, ἀπετμήθη τὴν κεφαλήν. Διὸ τοὺς μὲν ἀγγέλους ηὔφρανε, τοὺς δὲ δαίμονας ἤσχυνε, καὶ ἡμᾶς ἐκίνησε κράζειν· σὺ εἶ μαρτύρων Χριστὲ ἀγαλλίαμα.

Τῷ αὐτῷ μηνὶ κς'. τοῦ ἁγίου ἐνδόξου νεομάρτυρος Γεωργίου τοῦ Χιοπολίτου. Στίχοι.

» Γεωργίῳ μάχαιρα πρόξενος τέλους,
» Αὕτη δὲ τούτῳ πρόξενος καὶ τοῦ στέφους,
» Γεωργίου ἐκκαιεικάδι τάμεν αὐχένα χαλκός.

Ὠδὴ ζ'. Θεοῦ συγκατάβασιν.

Τὴν κάραν ἐτμήθης σου, ὥσπερ ἀρνίον ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ, καὶ μαρτύρων ἐδείχθης ὅλβος ἀοίδιμε Θεοπόθητος, καὶ σὺν αὐτοῖς ἀνακράζεις γηθόμενος· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ἁπάντων ἠλόγησας, σὺ τῶν τοῦ βίου τερπνῶν πανόλβιε, καὶ σαρκὸς τῆς ἰδίας, ὁμοῦ καὶ κόσμου καὶ κοσμοκράτορος. Νῦν δὲ βοᾷς ἐκτενῶς πρὸς τὸν Κύριον· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Χριστὸν ὡμολόγησας, πάντων ἀνθρώπων ἐνώπιον, διὰ τοῦτο αὐτός σε, τοῦ οὐρανίου πατρὸς ἐνώπιον, ὁμολογήσει ἀγγέλων παρόντων σοι, ὥσπερ αὐτὸς ὁ Σωτὴρ πρὶν ἀπεφήνατο. Θεοτοκίον.

Νῦν πάντα πεπλήρωται, φωτὸς τοῦ Θείου διὰ σοῦ Πάναγνε· σὺ γὰρ πύλη ἐφάνης, δι' ἧς τῷ κόσμῳ Θεὸς ὡμίλησε, καταφωτίζων τοὺς πίστει κραυγάζοντας· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν πατέρων ὑμῶν.

Ὠδὴ ἡ. Ἐπταπλασίως κάμινον.

Τὸ ἱερόν σου λείψανον, ἐν τῇ πόλει κατάκειται, τῶν Κυδωνιέων τῇ κατὰ τὴν ἔφεσιν, ἐν ᾗ καὶ ἐνήθλησας, καὶ ἀνῃρέθης διὰ Χριστόν, καὶ τοῦ μαρτυρίου ἐνεδύσω τὸ σέφος· καὶ νῦν ἐν παῤῥησίᾳ, ἱκετεύοις ἀπαύ-

ΕΘΝΙΚΟΝ ΚΑΙ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΑΘΗΝΩΝ ΚΕΝΤΡΟΝ ΨΗΦΙΑΚΗΣ ΤΕΚΜΗΡΙΩΣΗΣ ΕΛΛΗΝΙΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΑΝΤΩΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

στως, ὑπὲρ τῶν ἐκτελούντων τὴν ἱεράν σου μνήμην.

Ὁ μέγας ἐν τοῖς μάρτυσι τῶν πιστῶν ὁ θερμότατος, ὁ τροπαιοφόρος, πρέσβυς τε Γεώργιος, σὲ νῦν ὡς συνώνυμον, προσεκαλέσατο ἐν χαρᾷ, οἴκῳ τῷ αὐτοῦ, τῷ παμμεγίστῳ καὶ θείῳ, ἐν ᾧ καὶ ἀνεκλήθη, τὸ ἱερόν σου σῶμα, ἵν' ἅμα δυσωπῆτε, ὑπὲρ παντὸς τοῦ κόσμου.

Ὑπὲρ ἡμῶν μὴ παύσητε, δυσωπεῖν τὸν φιλάνθρωπον, ὅπως οἰκτειρήσῃ πάντας ἡμᾶς ἅγιοι, Γεώργιοι ἔνδοξοι, ἡ καρτερόφρων θεία δυάς, τοὺς χαρμονικῶς, καὶ γηθοσύνως τελοῦντας, ὑμῶν τὴν θείαν μνήμην, τὴν σεπτὴν καὶ ἁγίαν, καὶ πᾶσι συγχωρήσῃ, ὡς μόνος ἐλεήμων. Θεοτοκίον.

Ἄλλην ἐκτός σου Δέσποινα, βοηθὸν οὐκ ἐπίσταμαι, πλήν σου πρὸς Θεόν, καταλλαγὴν οὐ κέκτημαι, ἐλέησον ἄχραντε, ἐμὲ τὸν ἀπολλύμενον, διὰ τὰς ἀθεμίτους μου πράξεις, καὶ σῶσόν με βοῶντα· χαῖρε εὐλογημένη, χαῖρε δεδοξασμένη, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός.

Ἐξέστησαν ἀγγέλων αἱ στρατιαὶ, καὶ δαιμόνων αἱ φάλαγγες ἔφριξαν, ὅτι σαυτὸν, ἔδωκας ἑκούσιον εἰς σφαγὴν, καὶ ἀπεκτάνθης Ἄγιε· ὅθεν ἡμεῖς πάντες περιχαρῶς, δοξάζομεν ἀπαύστως, τὸν σὲ ἐνισχυκότα, Χριστὸν τὸν εὔσπλαγχνον Θεὸν ἡμῶν.

Εὐφραίνου καὶ σὺ πόλις Κυδωνιῶν, καὶ ἀγάλλου εὐθύμως τῷ πνεύματι, ὅτι ἐν σοὶ, ὁ μάρτυς ἀνηρέθη ὑπὲρ Χριστοῦ, καὶ ἡγιάσθης ἅπασα, αἵμασι τοῖς τού-

του τοῖς ἱεροῖς· διὸ καὶ ἀνευφήμει, καὶ ἑόρταζε τοῦτον, ὡς ὑπὲρ σοῦ ἀεὶ πρεσβεύοντα.

Τὴν μνήμην σου τελοῦντες τὴν ἱεράν, ἱκετεύομεν πάντες οἱ δοῦλοί σου, τοὺς τῇ σορῷ, τῶν θείων λειψάνων σου ὡς εἰκὸς, ἀπαύστως προσερεύοντας, καὶ ἀσπαζομένους εἰλικρινῶς, διάσωσον ἐκ πάσης, δαιμόνων ἐπηρείας, καὶ τὴν εἰρήνην ἡμῖν βράβευσον.

Θεοτοκίον.

Τὸν πάντων βασιλέα καὶ ποιητὴν, συλλαβοῦσα Παρθένε ἐκύησας, καὶ νῦν ἰδού, οἷά περ βασίλισσα δεξιᾷ, τούτου ἀεὶ παρίστασαι· ὅθεν δυσωπῶ σε ἀριστερᾶς, μερίδος λύτρωσαί με, ἐν ὥρᾳ τῇ τῆς δίκης, καὶ δεξιοῖς προβάτοις σύνταξον.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Πλάρναξ τῶν λειψάνων σου, τῶν σῶν ἀγώνων τράπεζαν, Γεώργιε νῦν τιθεῖσα, ἡμᾶς καλεῖ ἐντρυφῆσαι· διὸ συνευφραινόμεθα, καὶ πιστῶς ἐξαιτούμεθα, στῆθι φρουρὸς τῶν δούλων σου, καὶ ἄγρυπνος εὐσεβείας προστάτης καὶ ἀντιλήπτωρ.

Ἕτερον. Σταυρὸς ὁ φύλαξ πάσ.

Χριστὸς ἐμοὶ παράκλησις ἐν ταῖς λύπαις, Χριστὸς ἐμοὶ ἀντίληψις ἐν βασάνοις, Χριστός μοι δοτὴρ τῶν ἀντιδόσεων, ἀποκειμένων μάρτυσι· διὸ τῷ ξίφει τμηθήτω ἡ κεφαλὴ ἀνεβόα. Θεοτοκίον.

Παρθένος σὺ κατὰ φύσιν, σὺ πρὸ τοῦ τόκου, παρθένος ὑπὲρ φύσιν αὖθις ἐν τόκῳ, παρθένος ὑπὲρ ἔννοιαν,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΓΕΩΡΓΙΟΣ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΗΣ

διετηρήθης Δέσποινα, διὸ παρθένους ἐκ πάντων, παθῶν σοὺς δούλους συντήρει.

Εἰς τοὺς Αἴνους. Ἦχος ά.

Τῶν οὐρανίων ταγμάτων.

Συνωνυμήσας τῷ πάλαι μεγαλομάρτυρι, Γεώργιε τρισμάκαρ, ἀθλητὰ γενναιόφρον, ἐνήθλησας νομίμως ὑπὲρ Χριστοῦ, ἐν ψυχῆς γενναιότητι, ἀποσκοπῶν τῶν βασάνων τὰς ἀμοιβάς, καὶ τὰ γέρα τῆς ἀθλήσεως.

Τῆς ἀρχιφώτου Τριάδος νῦν ἐλλαμπόμενος, ταῖς νοηταῖς ἀκτῖσι, νεομάρτυς Κυρίου, Γεώργιε δυσώπει ὑπὲρ ἡμῶν, τῶν ἐκ πόθου τελούντων σου, τὴν ἀεισέβαστον μνήμην, καὶ ἐν ᾠδαῖς, εὐφημούντων τοὺς ἀγῶνάς σου.

Τὸν τῆς ἀθλήσεως δρόμον, καλῶς διήνυσας, ἀποτμηθεὶς τὴν κάραν, ἀθλοφόρε Κυρίου, λοιπὸν ἀπόκειταί σοι ἐν οὐρανῷ ὁ ἀκήρατος στέφανος, ὃν σοι παρέξει Γεώργιε ὁ Χριστὸς ἐν ἡμέρᾳ τῆς ἐτάσεως.

Δόξα. Ἦχος β'.

Ἐν τοῖς ἐπουρανίοις σκηνώμασι, Χιοπολῖτα Γεώργιε, σὺν ταῖς τῶν ἁγίων χορείαις, τὸ πνεῦμά σου αἰωνίως ἀγάλλεται· λαμπρῶς δὲ καὶ τὰ πανιερά σου λείψανα, ἐν τῇ Κυδωνιέων κώμῃ διατηρούμενα τιμᾶται, καὶ πανταχοῦ τὸ σεπτόν σου ὄνομα ὑμνεῖται, καὶ δοξάζεται Χριστὸς, ὁ δοξάζων τοὺς αὐτὸν ἀντιδοξάζοντας.

Καὶ νῦν. Τὴν πᾶσαν ἐλπίδα μου.

Δοξολογία μεγάλη, καὶ ἀπόλυσις. Εἰς τὴν λειτουργίαν ᾠδὴ γ'. καὶ ς'. Ἀπόστολος καὶ Εὐαγγέλιον τοῦ μεγάλου Γεωργίου. Κοινωνικὸν, Εἰς μνημόσυνον.

Μεγαλυνάρια.

Ἐνδοξος ἐν μάρτυσιν ὁ κλεινὸς, Γεώργιος ὤφθη, τοῖς ἀρχαίοις, σὺ δ' ἐν τοῖς νῦν Γεώργιε νέε, ὁμώνυμε ἐκείνῳ, καὶ σύσκηνε, διό σε τιμῶμεν ἅπαντες.

Τοὺς μετ' εὐλαβείας τὰ ἱερὰ, λείψανά σου μάρτυς, προσκυνοῦντας σαῖς πρὸς Θεὸν, ἱεραῖς πρεσβείαις, φρουρῶν μὴ διαλείπῃς, νεομαρτύρων κλέος, Θεῖε Γεώργιε.

Βίος καὶ μαρτύριον τοῦ ἁγίου νεομάρτυρος Γεωργίου τοῦ Χιοπολίτου.

Οὗτος ὁ νέος ἀθλητὴς τοῦ Χριστοῦ Γεώργιος ἐγεννήθη εἰς τὴν πόλιν τῆς νήσου Χίου. Ὁ πατήρ του κατήγετο ἀπὸ ἓν χωρίον τῆς αὐτῆς νήσου, Πιθυοῦς καλούμενον. Ὠνομάζετο δὲ αὐτὸς Παραυκευᾶς, ἡ δὲ μήτηρ του Ἀγγεροῦ, ἡ ὁποία ἀποθανοῦσα, ἄφησε τὸν Γεώργιον νήπιον, ἕως ἐννέα μηνῶν. Μετὰ παρέλευσιν δὲ ἄλλων ἐννέα μηνῶν ἐνυμφεύθη πάλιν ὁ πατήρ του, καὶ ἐδόθη τὸ παιδίον εἰς τὴν ἐπίσκεψιν καὶ ἀνατροφὴν τῆς μητρυιᾶς του, ὃν τότε μηνῶν δέκα ὀκτὼ, καὶ οὕτως ἀνετράφη, γνωρίσας ὡς μητέρα τὴν μητρυιάν.

Ὅταν ἔφθασε πλέον εἰς ἱκανὴν ἡλικίαν, τὸ ἔδωκαν εἰς ἕνα τεχνίτην, Βισεντζῆ τὸ ὄνομα, τὴν τέχνην λεπτουργὸν, διὰ νὰ μάθῃ τέχνην. Κατ' ἐκεῖνον τὸν καιρὸν ἐκτίσθη καὶ ὁ ναὸς τοῦ ἁγίου Νικολάου εἰς τὰ Ψαρὰ, καὶ προσεκλήσθη ὁ Βισεντζῆς αὐτὸς διὰ

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟΝ ΠΟΛΥΤΕΧΝΕΙΟΥ ΒΙΒΛΙΟΘΗΚΗ
ΔΩΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

νὰ τεχνουργήσῃ τὰ τέμπλα τῆς Ἐκκλησίας. Καὶ ἀπελθὼν εἰς τὰ Ψαρὰ, ἐπῆρε καὶ τὸ παιδίον, καὶ ἐδούλευεν ἐκεῖ μετ' αὐτοῦ. Ἐκεῖ δὲ διατρίβων ὁ Γεώργιος, ἐγνωρίσθη καὶ ἐφιλιώθη μὲ ἄλλους, καὶ ἀναχωρήσας χωρὶς γνώμην καὶ εἴδησιν τοῦ διδασκάλου του, ἐταξείδευσε μὲ αὐτοὺς εἰς τὴν Καβάλλαν. Πλὴν καθὼς ἡ φυγή του ἀπὸ τὰ Ψαρὰ ἔγινε μὲ παιδικὴν ἀφροσύνην, οὕτως καὶ εἰς τὴν Καβάλλαν ἄγνωστα καὶ ἀνόητα ὡς παιδίον ἐπέρασε. Μίαν ἡμέραν παρακινηθεὶς μὲ ἄλλα ναυτόπαιδια, ὑπῆγεν εἰς ἕνα κῆπον, καὶ ἔκλεψαν καρπούζια· ἀλλ' ἀπελθὼν ὁ κηπουρὸς, ἐπρόφθασε καὶ ἐπίασε μόνον τὸν Γεώργιον, καὶ δὲν ἠξεύρω πῶς διὰ τόσην μικρὰν ζημίαν τὸν παρέδωκεν εἰς τὴν κρίσιν. Ἐκεῖ δὲ φοβηθεὶς ὡς παιδίον μικρὸν, ἐξώμοσε φεῦ! καὶ ἠρνήθη τὴν πίστιν τοῦ Χριστοῦ, καὶ ἐδέχθη τὴν κρατοῦσαν ἀντίχριστον πλάνην. Καὶ μετὰ ταῦτα παρέλαβεν αὐτὸν εἰς ἀπὸ τοὺς ἐντοπίους Ἀγαρηνοὺς, καὶ τὸν εἶχε μαζή του μερικὸν καιρὸν, καὶ αὐτὸς πάλιν τὸν ἔδωκεν εἰς ἄλλον.

Αὐτὰ μὲν ἔπαθεν ὁ Γεώργιος· οἱ δὲ γονεῖς καὶ συγγενεῖς του δὲν εἶχον καμμίαν εἴδησιν, οὔτε ποῦ εὑρίσκετο, οὔτε τί ἔπαθεν. Ἀλλ' ἐν μιᾷ τῶν ἡμερῶν ἰδοὺ καὶ ἔρχεται εἰς τὸν λιμένα τῆς Χίου ἓν πλοιάριον φορτωμένον καρπούζια, καὶ μετ' ὀλίγον ἐκβαίνει ἀπὸ αὐτὸ ὁ Γεώργιος. Τυχὼν δὲ ἐκεῖ εἷς του συγγενὴς, τὸν εἶδε, τὸν χαιρετᾷ μὲ πολλὴν φιλοφροσύνην, ἔπειτα ἀκούει νὰ τὸν λέγωσιν οἱ ἄλλοι Ἀχμέτην. Ἐξέστη ὁ ἄνθρωπος ἀκούσας τοῦτο, καὶ ἠλλοιώθη ἡ ὄψις του. Τί εἶναι αὐτὸ, τὸ ὁποῖον ἀκούω; τὸν λέγει. Αὐτὸς ὅμως ἀπόκρισιν δὲν ἔδωκεν, ἀλλὰ τότε μὲν ὑπέστρεψεν μὲ σιωπὴν εἰς τὸ πλοῖον· ἄλλην δὲ φορὰν εὑρὼν εὐκαιρίαν, ἦλθε μόνος εἰς τὸν πατρικόν του οἶκον, ἀλλὰ, κακῇ τύχῃ, δὲν εὑρῆκε τὸν πατέρα του, ἐπειδὴ ἔλειπεν εἰς ταξείδιον. Ὅθεν ἐγύρισε πάλιν εἰς τὸ πλοῖον, χωρὶς νὰ λάβῃ καμμίαν διόρθωσιν, καθὼς ἤλπιζε, καὶ μὲ τὸ ἴδιον πλοῖον, ἐφ' οὗ ἦλθεν, ἀνεχώρησε πάλιν. Ἀλλὰ δὲν ἐπέρασε πολὺς καιρὸς, καὶ πάλιν ἦλθεν εἰς τὴν Χίον μὲ ἄλλο πλοῖον, καὶ μὲ χριστιανικὰ φορέματα. Καὶ ὑπῆγε τότε καὶ ἐντάμωσε τὸν πατέρα του. Ἔκλαιε, λέγουσιν, ὁ πατήρ του, ὅταν τὸν εἶδε, καὶ, καλλήτερα εἶχα τὸν θάνατόν σου, ἔλεγε, παρὰ νὰ σὲ ἴδω εἰς τοιαύτην ἀθλιότητα, καὶ ἄλλα παρόμοια.

Ἀοιπὸν τί τὰ μετὰ ταῦτα; Τὸν εἶχε μερικὰς ἡμέρας, ἕως ὅτου νὰ ἴδῃ πῶς νὰ τὸν οἰκονομήσῃ. Ἐντοσούτῳ γνωρίζων ὅτι δὲν ἦτο δυνατὸν νὰ ζήσῃ πλέον τὸ παιδίον μέσα εἰς τὴν Χίον, μετὰ βουλῆς καὶ γνώμης τοῦ πνευματικοῦ του πατρὸς, τὸ ἔβαλε μέσα εἰς τὸ πλοῖόν του (διότι ἡ ναυτικὴ ἦτον ἡ τέχνη του), καὶ τὸ ἔφερεν εἰς τόπον ἀγνώριστον καὶ ἀκίνδυνον· τὸ ἔφερε, λέγω, εἰς τὰς Κυδωνίας, καὶ ἐκεῖ τὸ παρέδωκεν εἰς ἕνα καλὸν χριστιανὸν, ὅστις μαθὼν τὸ συμβὰν εἰς τὸ παιδίον, τὸ ἔστειλε καὶ εὑρίσκετο ἔξω εἰς ἓν του ὑποστατικὸν διὰ τὸ ἀκίνδυνον. Ἦτο δὲ τότε τὸ παιδίον δέκα χρόνων ἡλικίας.

Ταῦτα ἐπληροφορήθημεν ἀκριβῶς παρὰ τῶν συγγενῶν καὶ γειτόνων τοῦ Γεωργίου καὶ παρὰ τοῦ σεβασμιωτάτου καὶ πνευματικοῦ ἱερομονάχου καὶ ἐφημερίου τῆς ἐνορίας του (εἶναι δὲ ἡ ἐνορία του ἡ Παναγία ἡ ἐπιλεγομένη ὁδηγήτρια). Τὰ δὲ ἑξῆς, πῶς δηλαδὴ ἐπέρασεν εἰς τὰς Κυδωνίας, καὶ πῶς ἐπολιτεύθη, καὶ πῶς τελευταῖον ἔλαβε τὸν μαρτυρικὸν θάνατον, θέλομεν τὰ ἱστορήσει, καθὼς μᾶς τὰ ἔγραψεν ἐκεῖθεν ἀπὸ τὰς Κυδωνίας εἷς γνωστὸς ἡμῖν, ἐλλόγιμος καὶ φιλομάρτυς, καὶ καθὼς ἄλλοι τινὲς ἐκεῖ τυχόντες διηγήσαντο.

Εὑρίσκετο, ὡς εἴρηται, εἰς τὸ ὑποστατικὸν τοῦ καλοῦ ἐκείνου χριστιανοῦ, μὲ ὅλην τὴν εὐγνωμοσύνην εἰς αὐτὸν, καὶ πολλὰ πιστὸς καὶ φρόνιμος ἦτον εἰς τὴν δούλευσίν του, καὶ πολλὰ σεμνὸς καὶ εὔτακτος ἐφαίνετο καὶ ἦτον εἰς ὅλα του τὰ κινήματα, καὶ ἔργα καὶ λόγια.

Ἐπέρασε λοιπὸν οὕτω καλῶς καὶ χριστιανικῶς πολιτευόμενος, δουλεύων τὸν χριστιανὸν ἐκεῖνον χρόνους πολλούς. Φθάσας δὲ εἰς τὸν εἰκοστὸν χρόνον τῆς ἡλικίας του, ἐξεθάρρησε πλέον, καὶ ἦλθε μέσα εἰς τὴν πόλιν τῶν Κυδωνιῶν, καὶ εἰς τὸ ἑξῆς ἔμεινεν ἐκεῖ ἀφόβως, καὶ ἐγνωρίσθη σχεδὸν μὲ ὅλους τοὺς ἐντοπίους, καὶ ἐφιλιώθη μὲ πολλούς. Ἔπειτα προσεκολλήθη καὶ εἰς μίαν γερόντισαν

ΕΘΝΙΚΟΝ ΚΑΙ ΠΑΝΕΠΙΣΤΗΜΙΟΝ ΒΙΒΛΙΟΘΗΚΗ ΓΕΩΡΓΙΟΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

γυναῖκα, καὶ τὴν εἶχεν ὡς παραμάναν του, βοηθὸν εἰς τὰς χρείας του. Ὁ πατήρ του ὅμως (μᾶς διηγεῖται ὁ ῥηθεὶς πτευματικὸς τῆς ἐνορίας του) πάντοτε ἔκλαιε καὶ ἀνεστέναζε διὰ τὸ ἄδηλον τέλος τοῦ υἱοῦ, καὶ ποτὲ εἰρήνην δὲν εἶχεν ὁ λογισμός του. Ὅθεν μίαν φορὰν, ἀπὸ συμβουλῆς τοῦ πνευματικοῦ πατρὸς, ὑπῆγε νὰ τὸν πάρῃ μὲ τὸ πλοιάριόν του, νὰ τὸν βάλῃ εἰς ἓν μοσχοβιτικὸν πλοῖον, καὶ νὰ περάσῃ εἰς μέρη ἄφοβα. Πλὴν δὲν ὑπήκουσεν ὁ υἱὸς, λέγων ὅτι ἐκεῖ, ὅπου εὑρίσκετο, δὲν εἶχε φόβον, ἐπειδὴ οὐδεὶς εἶχε τούτου εἴδησιν· μὲ τὸν καιρὸν ὅμως ἐξεθάρρησε, καὶ ἐφανέρωσεν εἰς τὴν γραῖαν ἐκείνην τὴν παραμάναν του τὸ ἀπόκρυφον τῆς ἀρνήσεώς του.

Ἦλθεν ἔπειτα καιρὸς νὰ ἀῤῥαβωνισθῇ μίαν κόρην. Ἀλλ' οἱ συγγενεῖς της ἐξετάσαντες τὴν γραῖαν ἐκείνην τὴν παραμάναν του, καὶ μαθόντες τὸ ἀπόκρυφον τῆς ἀρνήσεώς του, δὲν ἔδωκαν τὴν συγκατάθεσίν των. Ἦλθεν ἔπειτα καιρὸς νὰ ἀῤῥαβωνισθῇ μὲ μίαν ἄλλην κόρην, καὶ οἱ συγγενεῖς αὐτῆς πάλιν ἐξετάσαντες τὴν γραῖαν, ἔμαθον παρ' αὐτῆς μετὰ τῶν ἄλλων καὶ τὸ μυστήριον ἐκεῖνο. Πλὴν διὰ τὰ ἄλλα καλὰ, τὰ ὁποῖα εἶχεν ὁ νέος, δὲν τὸν παρήτησαν, ἀλλ' ἔγινεν ὁ ἀῤῥαβών, καὶ οἱ γάμοι ἑτοιμάζοντο νὰ τελειωθοῦν.

Ἀλλὰ τί ἀκολουθεῖ ἐν τῷ μεταξὺ τούτῳ; Εἷς ἀδελφὸς τῆς ἀῤῥαβωνιστικῆς του ἐσκανδαλίσθη μαζή του, διότι τοῦ ἐζήτει τὰ δάνεια, τὰ ὁποῖα εἶχε δώσει εἰς αὐτὸν πρότερον. Ὅθεν ὑπῆγεν ὁ ἄθλιος, καὶ τὸν ἐπρόδωκεν εἰς τὸν ἀγᾶν τοῦ τόπου, ὅτι εἶναι Τοῦρκος. Τὴν προδοσίαν ταύτην μαθόντες τινὲς φίλοι τοῦ Γεωργίου, τοῦ ἔδωκαν τὴν εἴδησιν, καὶ τὸν ἐσυμβούλευον καὶ τὸν παρεκίνουν νὰ φεύγῃ τὸ γρηγορώτερον ἀπὸ τὸν τόπον ἐκεῖνον, ἢ κἂν νὰ κρυφθῇ πρὸς καιρὸν, διὰ νὰ μὴ πιασθῇ, φοβούμενοι τὸ ἄδηλον τῆς ἐκβάσεως. Αὐτὸς ὅμως ὁ μακάριος φαίνεται ὅτι εἶχε καὶ προτήτερα ἐλέγχουσαν τὴν συνείδησιν διὰ τὸ πτῶμα τῆς ἀρνήσεως· ὅθεν οὔτε ἔφυγεν οὔτε ἐκρύφθη, ἀλλ' ἔμεινεν εἰς τὸ φανερὸν, καὶ καμμίαν δειλίαν δὲν ἐδείκνυεν. Ἦλθεν ἡ ὥρα, καὶ ἐστάλησαν οἱ ὑπηρέται τοῦ κριτοῦ νὰ τὸν φέρωσι σιδηροδέσμιον εἰς τὸ κριτή-

ριον. Ὁ δὲ Γεώργιος, βλέπων αὐτοὺς, ἐγνώρισεν ὅτι δι' αὐτὸν ἤρχοντο. Λοιπὸν, πρὶν ἐκεῖνοι νὰ πλησιάσουν, ὥρμησεν αὐτὸς πρὸς ἐκείνους, καὶ θεληματικῶς παρεδόθη εἰς χεῖράς των, καὶ αὐτοὶ τὸν ἔφερον εἰς τὸν κριτὴν ὡς κατάδικον. Τὸν ἐρωτᾷ ὁ κριτής· διατί ἐτόλμησας νὰ ἀφήσῃς τὴν ἰδικήν μας πίστιν, καὶ νὰ ἀκολουθήσῃς πάλιν ἐκείνην, τὴν ὁποίαν ἠρνήθης πρότερον; Ἀποκρίνεται ὁ μάρτυς μὲ ἀφοβίαν· οὔτε τὴν πίστιν μου ἠρνήθην, οὔτε τὴν ἰδικήν σας ἐδέχθην, ἀλλὰ παιδίον μικρὸν ὄντα, μὲ ἐβίασαν νὰ τὴν δεχθῶ, πλὴν ἐγὼ τὴν γνώμην μου ποτὲ δὲν τὴν ἤλλαξα, ἀλλὰ πάντοτε χριστιανὸς ἤμην, καὶ χριστιανικῶς ἔζησα· τὴν δὲ ἰδικήν σας θρησκείαν πάντοτε ἐμίσουν, καθὼς καὶ τώρα τὴν μισῶ καὶ τὴν ἀποστρέφομαι, καὶ παντελῶς δὲν τὴν δέχομαι.

Ταῦτα εἰπόντος τοῦ μάρτυρος μὲ γενναιότητα καὶ ἐλευθεροστομίαν, μετέβαλεν ὁ κριτὴς τὴν ἀγριότητα εἰς ἡμερότητα, καὶ τὸν λέγει· Εἰπέ μας, ὦ ἄνθρωπε, τὸ ὄνομα, τὸ ὁποῖον ἔλαβες, ὅταν ἔγινες μωαμεθανός; Καὶ τοῦτο ἦτο δόλος, διὰ νὰ κάμῃ τάχα τὴν ὁμολογίαν τῆς πίστεώς των, λέγων τὸ τουρκικόν του ὄνομα. Τὸ ὄνομά μου, ἀπεκρίθη ὁ μάρτυς, εἶναι Γεώργιος, καὶ μὲ αὐτὸ τὸ ὄνομα μέλλω νὰ ἀποθάνω. Εἰπέ μας, τὸν λέγει πάλιν, εἰπέ μας τὸ ὄνομά σου, καὶ μὴ ἀρνῆσαι τὴν πίστιν μας, καὶ κατὰ ἀλήθειαν δὲν μᾶς βαρυφαίνεται αὐτὸ, τὸ ὁποῖον ὡς ἄγνωστος νέος ἔκαμες· ἀλλὰ μάλιστα θέλομεν σὲ τιμήσει μεγάλως, καὶ εἰς ὅλους ἡμᾶς θέλεις εἶσθαι ἀγαπητός· ἐὰν δὲ παρακούσῃς, γνώριζε καλῶς, ὅτι θέλεις λάβει σκληρὸν καὶ ἐπώδυνον θάνατον. Ὁ μάρτυς ἀπεκρίθη πρὸς ταῦτα· Τὸ ὄνομά μου τὸ ἠκούσατε· ὀνομάζομαι Γεώργιος, καὶ Γεώργιος θέλω καὶ ποθῶ νὰ ἀποθάνω. Δὲν ἀποθνήσκεις μὲ καλὸν θάνατον, τοῦ εἶπεν ὁ κριτὴς, ἀλλ' ἐγὼ θέλω σὲ θανατώσει μὲ κακὸν θάνατον· Θανάτωσέ με, ἀπεκρίθη ὁ μάρτυς· μὲ χαρὰν δέχομαι τὸν θάνατον· καὶ παρευθὺς ἔδωκε προσταγὴν ὁ κριτὴς νὰ φυλακισθῇ ὁ μάρτυς· ὃ καὶ ἐν τῷ ἅμα ἐγένετο.

Ἡ ὀγδόη ἦτο τοῦ νοεμβρίου μηνὸς, ὅτε ἐφυλακίσθη, καὶ ἔμεινεν εἰς τὰ δεινὰ τῆς φυλακῆς ὁ μακάριος ἡμέρας δέκα ἑπτά. Καὶ αὐτὸς μὲν ὁ ἀοίδιμος ἔχαιρε καθ' ὑπερβολὴν, καὶ πνευματικῶς

ΕΛΛΗΝΙΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΚΡΗΤΗΣ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΑΣΗΣ

ηὐφραίνετο, πάσχων ὑπὲρ Χριστοῦ. Ὁ δὲ εὐσεβὴς καὶ φιλομάρτυς τῆς πόλεως λαὸς μετὰ θερμῶν δακρύων ἐδέετο τοῦ Θεοῦ νὰ τὸν ἐνισχύσῃ καὶ νὰ τὸν ἐνδυναμώσῃ ἵνα τελειώσῃ τὸν θεῖον δρόμον τοῦ μαρτυρίου, καὶ τὸν καλὸν ἀγῶνα τῆς ἀθλήσεως. Ἀλλὰ καὶ εἰς τὴν φυλακὴν μὲ ὅποιον τρόπον ἠδύναντο οἱ εὐλογημένοι τὸν παρηγόρουν, καὶ μάλιστα εἷς εὐλαβὴς ἐντόπιος, ὅστις κατὰ θείαν οἰκονομίαν εὑρέθη μέσα εἰς τὴν φυλακὴν, ἔχων εἴδησιν γραμμάτων, καλὴ συνοδία τοῦ ἔγινεν, καὶ ἱκανὴν παρηγορίαν ἐλάμβανεν ἀπὸ αὐτὸν εἰς τὰ δεινὰ ἐκεῖνα τῆς φυλακῆς, ἐπειδὴ εἰς ὅλας αὐτὰς τὰς ἡμέρας πολλὴν ἐνόχλησιν τοῦ ἔδιδον οἱ Ἀγαρηνοὶ μέσα εἰς τὴν φυλακὴν, φοβερίζοντες νὰ τοῦ κάμωσιν εἴδη βασάνων, καὶ τελευταῖον νὰ τὸν θανατώσωσι μὲ σκληρὸν καὶ ἐπώδυνον θάνατον. Τέλος πάντων τὴν εἰκοστὴν τετάρτην τοῦ νοεμβρίου ἠκούσθη, ὅτι ἐδόθη πλέον ἡ ἀπόφασις νὰ θανατωθῇ. Λοιπὸν οἱ χριστιανοὶ τοῦ γράφουν τὴν εἴδησιν, καὶ ὅτι, ἂν ἤθελε νὰ κοινωνήσῃ τῶν ἀχράντων μυστηρίων, ἔχουν τὸν τρόπον νὰ τοῦ κάμωσιν αὐτὴν τὴν δούλευσιν. Ταῦτα τὰ δύω καλὰ ἀκούσας ὁ μακάριος μάρτυς, ἤγουν τὸν ὑπὲρ Χριστοῦ θάνατον καὶ τὴν ἁγίαν κοινωνίαν, τὸ ἐφόδιον τοῦ οὐρανίου δρόμου, ὑπερεχάρη καὶ ἐδόξασε τὸν Θεὸν, καὶ εὐχαρίστησεν ἐκείνους, οἵτινες ἐφρόντιζον περὶ αὐτοῦ.

Ἦλθεν ἔπειτα ὁ πνευματικὸς τὴν ἑσπέραν ἐκείνην, ἐξωμολογήθη καὶ ἐκοινώνησε μετὰ κατανύξεως καὶ χαρᾶς, καὶ, καθὼς ὅταν ἀνατείλῃ ὁ ἥλιος, εὐθὺς ὅλα τὰ θηρία, τὰ ὁποῖα γυρίζουν τὴν νύκτα διὰ τὴν τροφὴν, φεύγουν καὶ κρύπτονται, οὕτως οἱ πονηροὶ καὶ βλάσφημοι λογισμοὶ, οἵτινες δεινῶς τὸν ἠνώχλουν, καὶ νὰ κοιμηθῇ τελείως δὲν τὸν ἄφινον, ἔφυγον ἀπὸ τὴν φαντασίαν του, διωχθέντες ἀπὸ τὴν θείαν χάριν τοῦ νοητοῦ ἡλίου Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, καὶ ἡσύχασεν ὁ νοῦς του, καὶ εἰρήνευσεν ἡ καρδία του καὶ ἐκοιμήθη ἀτάραχα. Ὁ ἄλλος ἐκεῖνος χριστιανὸς, ἰδὼν ὅτι ἐκοιμήθη τὴν νύκτα ἐκείνην, καθ' ἣν ἐκοινώνησεν, ἥσυχα καὶ εἰρηνικὰ, τὸ περιειργάσθη καλῶς, καὶ τὸ πρωΐ, ἤγουν τὸ ἑξημέρωμα τῆς εἰκοστῆς πέμπτης, τὸν ἐρωτᾷ μὲ ἀπορίαν· Ἀδελφὲ, τί εἶδα ἀπόψε εἰς σέ; σὺ τόσας νύκτας δὲν ἐκοιμήθης ποτὲ ἥσυχα, καὶ πῶς τὴν νύ-

κτα ταύτην, ὅτε μάλιστα ἔλαβες τὴν ἀπόφασιν τοῦ θανάτου, ἐκοιμήθης τόσον ἥσυχα καὶ γλυκά; Διότι, ἀπεκρίθη ὁ μάρτυς, τὰς ἄλλας νύκτας δὲν μὲ ἄφινον ἥσυχον οἱ σατανικοὶ λογισμοὶ, ἀλλὰ τὴν νύκτα ταύτην φαίνεται ὅτι τοὺς διεσκόρπισεν καὶ τοὺς ἐδίωξεν ἡ χάρις τῶν ἁγίων μυστηρίων, καὶ ἦτο εἰς μεγάλην εἰρήνην καὶ ἡσυχίαν ὁ νοῦς μου καὶ ἡ καρδία μου· ὅθεν ἐκοιμήθην, ἐπειδὴ ἤμην τόσας νύκτας ἄγρυπνος.

Ταῦτα ἀκούσας ὁ καλὸς ἐκεῖνος χριστιανὸς, τὸν ἐνηγκαλίσθη, καὶ ἀπὸ δάκρυα περιῤῥεόμενος, τὸν κατεφίλησε, λέγων μὲ θρηνώδη καὶ διακεκομμένην φωνήν· Ἀδελφέ μου, σὺ αὔριον ἐξάπαντος μέλλεις νὰ παρασταθῇς ἐνώπιον τοῦ Θεοῦ, μετὰ τῶν ἁγίων ἀγγέλων, διὰ νὰ λάβῃς τοὺς μισθοὺς τῶν ἀγώνων σου καὶ τὸν ἄφθαρτον στέφανον τῆς ἀθλήσεώς σου, καὶ τότε, παρακαλῶ σε, ἐνθυμήσου καὶ ἐμὲ τὸν ἁμαρτωλὸν, καὶ μεσίτευσον εἰς αὐτὸν νὰ συγχωρήσῃ τὰ ἁμαρτήματά μου, καὶ νὰ μὴ μὲ στερήσῃ τῆς θείας του δόξης, ἀλλὰ νὰ μὲ ἀξιώσῃ, καθὼς τώρα σὲ βλέπω μέσα εἰς τὴν φυλακὴν, οὕτω νὰ σὲ βλέπω χαίρων καὶ ἀγαλλόμενος καὶ μέσα εἰς τὸν παράδεισον.

Ἐπέρασεν ἡ ἡμέρα ἐκείνη τῆς εἰκοστῆς πέμπτης, καὶ ἔφθασεν ἡ ἑσπέρα, κατὰ τὴν ὁποίαν ἦτο ἡ ἀπόφασις νὰ ἀποκεφαλισθῇ ὁ μάρτυς. Λοιπὸν οἱ φιλομάρτυρες διδάσκαλοι καὶ οἱ ἱερεῖς ἔκαμαν ἀπόφασιν νὰ ψάλλωσι ἀγρυπνίαν τὴν νύκτα ἐκείνην ὑπὲρ ἐνισχύσεως καὶ ἐνδυναμώσεως τοῦ νεομάρτυρος. Τούτου ἀκουσθέντος, συνήχθησαν καὶ ἄλλοι πολλοὶ χριστιανοὶ εἰς τὴν Ἐκκλησίαν, καὶ ἤρχισεν ἡ ἀκολουθία κατὰ τὴν πρώτην ὥραν τῆς νυκτὸς μετὰ κατανύξεως μεγάλης, καὶ πάντες μετὰ θερμῶν δακρύων ἐδέοντο τοῦ Θεοῦ. Καὶ ποῖος ἠδύνατο τὴν νύκτα ἐκείνην νὰ σταθῇ καὶ νὰ ἡσυχάσῃ μέσα εἰς τὴν οἰκίαν του; Ἄλλοι ἦσαν εἰς τὴν Ἐκκλησίαν, ἄλλοι εἰς τὴν ἀγορὰν ἔξωθεν τοῦ κριτηρίου, καὶ ὅσον παρήρχετο ἡ νὺξ, τοσοῦτον τὸ πλῆθος συνήγετο εἰς τὴν μακαρίαν θεωρίαν τῆς ἀποτομῆς τοῦ θείου μάρτυρος, καὶ ἄλλοι περιέμενον μὲ ἀνημμένην καρδίαν νὰ ἴδωσι θριαμβεύουσαν τὴν δύναμιν τοῦ σταυροῦ ἐν τῇ ἀσθενείᾳ τῆς σαρκὸς τοῦ μακαρίου Γεωργίου. Τόσον ἦτο

ΕΘΝΙΚΟΝ ΜΕΤΣΟΒΕΙΟΝ ΠΟΛΥΤΕΧΝΕΙΟΝ ΔΙΑΔΙΚΤΥΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΚΕΝΤΡΟ ΙΣΤΟΡΙΚΩΝ ΜΕΛΕΤΩΝ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΕΡΓΙΑΔΗΣ

τὸ συναχθὲν πλῆθος, ὥστε ἔφερε φόβον εἰς τοὺς Ἀγαρηνοὺς νὰ ἐκβάλωσιν ἔξω τὸν μάρτυρα, μήπως καὶ κάμῃ ὁ λαὸς κανὲν ἄτοπον ὅρμημα. Λοιπὸν ἔκαμαν πρῶτον μίαν δοκιμὴν, διὰ νὰ καταλάβουν τὴν γνώμην τοῦ λαοῦ· ὅθεν ἐξελθόντες ἔπεσαν ἔξαφνα μέσα εἰς τὸ πλῆθος δύω ξεσπαθωμένοι, καὶ τὸ διεσκόρπισαν. Εἰς τὸν διωγμὸν ἐκεῖνον ἄλλος ἀπὸ τοὺς χριστιανοὺς ἔχασε φανάρι, ἄλλος φόρεμα, ἄλλος παπούτζια, ἄλλοι ἐπάτησαν ἄλλους, καὶ ἄλλοι ἐπατήθησαν ἀπὸ ἄλλους. Καὶ οἱ μὲν ἐν τῇ ἀγορᾷ χριστιανοὶ οὕτω κακῶς ἐδιώχθησαν καὶ διεσκορπίσθησαν· οἱ δὲ ἐν τῇ Ἐκκλησίᾳ ψάλλοντες, ἔφθασαν εἰς τὴν λιτήν. Ἀλλὰ, τῶν τροπαρίων ψαλλομένων, συνεβουλεύοντο οἱ ἱερεῖς πῶς νὰ μνημονεύσουν τὸν Γεώργιον, τάχα ὡς ἄνθρωπον ἁπλοῦν ἔτι, ἢ ὡς μάρτυρα τέλειον νὰ τὸν συντάξουν μὲ τοὺς μάρτυρας, καὶ ἐφάνη εὔλογον νὰ μὴ ζητήσουν τὴν πρεσβείαν καὶ ἱκεσίαν αὐτοῦ μετὰ τῶν μαρτύρων, ἀλλὰ νὰ δεηθῶσι πρὸς τὸν Θεὸν ὑπὲρ αὐτοῦ, ἵνα τελειώσῃ τὸ μαρτύριον.

Ἀλλ' ἐν τῷ μεταξὺ τούτῳ, πρὶν ἀρχίσῃ ἡ λιτὴ, τὸ Σῶσον ὁ Θεὸς τὸν λαόν σου, ἰδοὺ φθάνει δρομαίως ὁ ἀπεσταλμένος καὶ διωρισμένος νὰ βλέπῃ ἀπὸ κρυπτὸν μέρος τί γίνεται κατὰ τοῦ μάρτυρος, καὶ φωνάζει εἰς τὴν Ἐκκλησίαν· τετέλεσται· καὶ εἰς μερικοὺς ἐψιθύριζε καὶ μὲ ποῖον τρόπον ἐτελειώθη. Τότε πλέον τίς δύναται νὰ παραστήσῃ μὲ λόγον τὴν πνευματικὴν ἀγαλλίασιν τοῦ χριστωνύμου λαοῦ; Ποῖος νὰ ἑρμηνεύσῃ τὰ ἀφανῆ σκιρτήματα τῶν καρδιῶν του ἀπὸ τὴν χαράν; Λέγει ὁ Σολομὼν, ὅτι, « καρδίας εὐφραινομένης, πρόσωπον θάλλει »· ἀλλ' ἐδὼ φιλομάρτυρες ἀκροαταὶ, δὲν ἠκολούθησεν οὕτως, ἀλλ' εὐφραινομένων καὶ ἀγαλλομένων τῶν καρδιῶν τῶν χριστιανῶν, οἱ ὀφθαλμοί των ἐφαίνοντο πηγαὶ δακρύων, καὶ τὰ πρόσωπά των κατεβρέχοντο ἀπὸ κατανύξεως δάκρυα διὰ τὴν κατ' ἐχθρῶν ὁρατῶν καὶ ἀοράτων νίκην τοῦ καλλινίκου ἀθλητοῦ Γεωργίου, καὶ μάλιστα ὅτε ἤκουσαν τότε παρευθὺς τὴν χαριεστάτην ἐκείνην φωνὴν τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος Γεωργίου τοῦ Χιοπολίτου. Καὶ οὕτω καλῶς καὶ θεοφιλῶς ἐτελειώθη ἡ ἀγρυπνία ἐκείνη, ἐν τῇ νυκτὶ τῆς εἰκοστῆς ἕκτης τοῦ

νοεμβρίου, ὁμοῦ μὲ τὸ καλὸν καὶ θεοφιλὲς μαρτυρικὸν τέλος τοῦ καλοῦ καὶ λαμπροῦ ἀριστέως Γεωργίου.

Τί τὸ ἐντεῦθεν; Ἐξημέρωσεν ἡ εἰκοστὴ ἕκτη, καὶ αἱ καρδίαι ὅλων σχεδὸν τῶν ἀνθρώπων τῆς πόλεως εἰς δύω καλὰ καὶ σωτήρια ἐμερίσθησαν· δηλαδὴ εἰς τὸ νὰ μάθουν ἀκριβῶς μὲ ποῖον τρόπον καὶ μὲ ποῖα βάσανα ἐτελειώθη ὁ μάρτυς, καὶ εἰς τὸ νὰ λάβουν τίποτε ἀπὸ τὴν μαρτυρικὴν χάριν· ὃ καὶ ἐγένετο· καὶ ἄλλος ἔλαβε χῶμα βρεγμένον μὲ τὸ μαρτυρικὸν αἷμα, ἄλλος ἔβαφε βαμβάκι, ἄλλος ἔπερνε φόρεμα, καὶ ἕκαστος ὅ,τι ἠμπόρεσεν ἥρπασεν εἰς ἁγιασμόν του ἀπὸ τὸν μάρτυρα. Τὸ δὲ μακάριον τέλος του οὕτω πως ἠκολούθησεν.

Ἀφ' οὗ ἐκεῖνοι οἱ δύω ξεσπαθωμένοι Ἀγαρηνοὶ διεσκόρπισαν τὸ πλῆθος, ὡς εἴρηται, τότε προστάζει ὁ κριτὴς ἕνα ὑπηρέτην Ἀγαρηνὸν καὶ ἕνα χριστιανὸν, ὅστις καὶ αὐτὸς ἦτο ὑπηρέτης τοῦ κονακίου, νὰ τὸν ἐκβάλουν ἐκ τῆς φυλακῆς, καὶ νὰ τὸν ὑπάγουν δέσμιον εἰς τὸν τόπον τῆς καταδίκης. Ὁ μάρτυς εὐθὺς παρεδόθη, καὶ ὡς ἀρνίον ἄκακον ἐφέρετο μὲ σιωπὴν εἰς τὴν σφαγὴν, καὶ μόνον, ὅπου ἤθελε καταλάβει χριστιανοὺς, ἐζήτει συγχώρησιν· διότι εἰ καὶ πρῶτον ἐσκορπίσθησαν, μετὰ ταῦτα ὅμως ἐγύρισαν πολλοὶ, καὶ ἦσαν εἰς τὰ πλησίον ἐργαστήρια.

Ἐδὼ ἀπαγομένου τοῦ μάρτυρος εἰς τὴν σφαγὴν, ἠκολούθησεν ἓν ἀστεῖον καὶ διηγήσεως ἄξιον. Ὁ χριστιανὸς ὑπηρέτης τοῦ ἁγᾶ, θεόθεν βέβαια ἐμπνευσθεὶς, λέγει πρὸς τὸν μάρτυρα· Ἀδελφὲ Γεώργιε, ἰδοὺ τὰ ἅρματά μου, λάβε τα καὶ φόρεσέ τα σὺ, καὶ μεῖνε εἰς τὴν δούλευσιν τοῦ ἁγᾶ, καὶ νὰ δεθῶ ἐγὼ εἰς τὸν τόπον τὸν ἰδικόν σου, καὶ εἶμαι πολλὰ πρόθυμος νὰ ἀποθάνω ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ. Αὐτοὺς τοὺς λόγους μὲ ποίαν διάθεσιν καὶ γνώμην τοὺς εἶπεν ἐκεῖνος, ἕκαστος δύναται νὰ τὸ καταλάβῃ. Τοὺς εἶπε βέβαια διὰ νὰ τὸν προθυμοποιήσῃ περισσότερον, καθὼς καὶ τῇ ἀληθείᾳ τὸν ἐπροθυμοποίησεν, καὶ φλόγα θείου ἔρωτος ἀνῆψε μέσα εἰς τὴν καρδίαν του. Ὅθεν παρευθὺς τοῦ ἀπεκρίθη, λέγων· ὄχι, ἀδελφὲ, ὄχι· σὺ ὁ ἀνεύθυνος ἔχεις πόθον νὰ ἀποθάνῃς ὑπὲρ Χριστοῦ, καὶ ἐγὼ ὁ ὑπεύθυνος νὰ μὴ ἀποθάνω; Πῶς δύναται νὰ γείνῃ

τοῦτο; Ἐγὼ ὁ ἀρνητὴς τοῦ Χριστοῦ πρέπει νὰ ἀποθάνω ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ. Καὶ ταῦτα εἰπὼν, ἔτρεχε μὲ ὅλην τὴν προθυμίαν τῆς ψυχῆς του ἐμπρὸς ἀπὸ τὸν δήμιον, λέγων καὶ ἀδιακόπως τὸ, Κύριε Ἰησοῦ Χριστὲ, υἱὲ τοῦ Θεοῦ, ἐλέησόν με τὸν ἁμαρτωλὸν, ἕως ὅτου ἔφθασεν εἰς τὸν τόπον τῆς καταδίκης.

Ἐκεῖ εἰς τὸν τόπον τῆς καταδίκης ἦλθε καὶ ὁ κριτὴς μέ τινας ἄλλους, καὶ ὅλοι αὐτοὶ παρεστάθησαν ἐμπρὸς εἰς τὸν μάρτυρα τάχα διὰ νὰ τὸν τρομάξουν· ἀλλ' αὐτὸς νομίζων αὐτοὺς ὡς ψωραλέους κύνας, παντελῶς δὲν ἐφοβήθη. Λοιπὸν ἐπρόσταξε μὲ θυμὸν τὸν μάρτυρα ὁ κριτὴς νὰ γονατίσῃ εἰς τὴν γῆν, καὶ παρευθὺς ἐγονάτισεν. Ἔρχεται ὁ δήμιος, στέκει ἐμπρός του διὰ νὰ φανῇ φοβερὸς, κρατεῖ εἰς τοὺς ὀδόντας του μίαν μεγάλην μάχαιραν, καὶ μὲ τὰς χεῖράς του ἓν τουφέκι σηκωμένον καὶ ἕτοιμον, καὶ ὅλοι οἱ παρεστῶτες Ἀγαρηνοὶ ἔλεγον εἰς τὸν μάρτυρα νὰ μετανοήσῃ, νὰ μείνῃ εἰς τὴν πίστιν των, ἀλλ' ὁ μάρτυς μεγαλοφώνως ἔλεγεν· ὄχι, ὄχι, χριστιανὸς θέλω νὰ ἀποθάνω. Καὶ ταῦτα εἰπόντος τοῦ μάρτυρος, τοῦ ἔρριψεν ὁ δήμιος τὸ τουφέκι πρὸς ταῖς πλάταις, καὶ εὐθὺς ἄναψε τὸ φόρεμά του, εἰς τὸ μέρος ἐκεῖνο, ὅπου ἐκτύπησε, καὶ τὸ αἷμα ἐπήδα ἔξω ἀπὸ τὴν πληγὴν, ὡς ἀπὸ σωλῆνα, καὶ αὐτὸς ἔμεινε γονατιστὸς, ἀκίνητος, ὡς νὰ μὴ ἔπαθε τίποτε. Τοῦτο βλέπων ὁ ἀπάνθρωπος ἐκεῖνος δήμιος, τοῦ ἐφώναζε μὲ ἀγριωτάτην φωνήν· Κύψε κάτω τὴν κεφαλήν· καὶ ἱκανὴν ὥραν ἔστεκε κυπτὸς, προσμένων τὸ κτύπημα τῆς μαχαίρας. Ὁ δὲ τύραννος ἀφήσας τὸ τουφέκι, ἔλαβεν εἰς χεῖράς του τὴν μάχαιραν, καὶ ἔπειτα δὲν ἠξεύρω ἢ ἀπὸ ἀνεπιτηδειότητα, ἢ ἀπὸ σκληρότητα διὰ νὰ τὸν βασανίσῃ, ἐκτύπησεν εἰς τὸ κόκκαλον τοῦ λαιμοῦ, τὸ ὁποῖον εἶναι πρὸς τῇ κεφαλῇ, καὶ τόσον ἐμπήχθη ἡ μάχαιρα μέσα εἰς τὸ κόκκαλον, ὥστε μὲ ὅλην του τὴν δύναμιν ἕλκων τὴν ἔβγαλεν. Ἀλλ' ὁ μάρτυς πάλιν δὲν ἔπεσεν, ἀλλ' ἔστεκεν ὡς τὸ πρότερον γονατιστὸς, ἀλλὰ καὶ δεύτερον ἐνέπηξε τὴν ἰδίαν μάχαιραν ὀλίγον παρακάτω, καὶ πάλιν μὲ βίαν καὶ δύναμιν ἔσυρε, καὶ τὴν ἔβγαλεν· ὁ δὲ μάρτυς ἔμεινεν εἰς τὰ γόνατα πάλιν, καὶ δύναμιν εἶχεν ἀκόμη καὶ ἔλεγε τὸ, Κύριε Ἰησοῦ Χριστέ. Μετὰ ταῦτα

σπογγίσας ὁ ἀλιτήριος τὴν μάχαιραν, τὴν ἄφησε παράμερα, ἔπειτα κτυπήσας μὲ τὸν πόδα του εἰς τὰ ὄπισθεν τοῦ μάρτυρος, τὸν ἔρριψε πρηνῆ· ἔπειτα γονατίσας ἐπάνω εἰς τοὺς ὤμους του, καὶ πιάσας αὐτὸν ὡς ἀρνίον ἀπὸ τὴν σιαγόνα, τοῦ ἐχάραξε τὸν λαιμὸν ὥραν ἱκανὴν, μὲ ἕνα παραμάχαιρον, μὲ ἀνήκουστον σκληρότητα καὶ ἀσπλαγχνίαν, καὶ ἔβλεπες νὰ πίπτουν εἰς τὴν γῆν τὰ κρέατα ἀπὸ τὸν λαιμὸν τοῦ μάρτυρος, ὡς πίπτουν πριονίσματα ἀπὸ πριονιζόμενον χλωρὸν ξύλον. Καὶ οὕτως μετὰ ὥραν πολλὴν μὲ μεγάλην βάσανον τὸν ἀπεκεφάλισε. Καὶ ἦτο κατὰ ἀλήθειαν παράδοξον, ὅτι ἕως τῆς ἐσχάτης του ἀναπνοῆς εἶχεν εἰς τὸ στόμα τὸ σωτήριον ὄνομα τοῦ Χριστοῦ καὶ τῆς παναγίας αὐτοῦ μητρός. Ἐτελείωσε δὲ τὸν καλὸν ἀγῶνα τοῦ μαρτυρίου ὁ καλλίνικος οὗτος ἀθλητὴς εἰς τοὺς χιλίους ὀκτακοσίους ἑπτὰ χρόνους ἀπὸ Χριστοῦ, νοεμβρίου 25, ἕως 22 χρόνων ἡλικίας. Τὸ δὲ ἅγιον αὐτοῦ λείψανον ἐπρόσταξεν ὁ κριτὴς νὰ τὸ ρίψουν εἰς ἓν νησάκι, καθὼς μᾶς ἔγραψαν ἐν ἀρχῇ· ὕστερον ἐμάθομεν, ὅτι τὸ ἔχουν ἐνταφιασμένον μέσα εἰς τὸ ἅγιον βῆμα τοῦ ναοῦ τοῦ ἁγίου Γεωργίου εἰς τὰ δεξιὰ τῆς ἁγίας τραπέζης, ἐπειδὴ ἔγεινε καὶ αὐτὸς μετὰ τῶν λοιπῶν μαρτύρων βάσις τῆς Ἐκκλησίας καὶ τοῦ Εὐαγγελίου τελείωσις, κατὰ τὸ ἱερὸν ἐκεῖνο ᾄσμα τὸ λέγον· «Μαρτύρων θεῖος χορὸς, τῆς Ἐκκλησίας ἡ βάσις, τοῦ Εὐαγγελίου ἡ τελείωσις»· ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΕΘΝΙΚΟΝ ΙΔΡΥΜΑ ΕΡΕΥΝΩΝ ΙΣΤΟΡΗΣ ΠΑΠΑΔΑΚΗΣ

Ἀκολουθία τοῦ ἁγίου νεομάρτυρος Θεοδώρου τοῦ Βυζαντίου.

Ἐν τῷ μικρῷ ἑσπερινῷ ἱστῶμεν στίχ. δ'. καὶ ψάλλομεν στιχηρὰ προσόμοια.

Ἦχος ά. Τῶν οὐρανίων ταγμάτων.

Νῦν ἡ σεβάσμιος μνήμη τῆς σῆς ἀθλήσεως, ἡμᾶς συναγαγοῦσα, εὐφημῆσαι προτρέπει, τὰ τρόπαια τοὺς ἄθλους καὶ τὰς λαμπρὰς, ἀριστείας ἐν ἄσμασιν, ἐν τῇ παρούσῃ ἑσπέρᾳ καὶ τῇ νυκτὶ, ἀξιάγαστε Θεόδωρε.

Ἰσχύϊ θείᾳ νομίμως τὸν δρόμον ἤνυσας, τοῦ θείου μαρτυρίου, καὶ τὴν πίστιν βεβαίαν, ἐτήρησας παμμάκαρ πρὸς τὸν Χριστὸν, καὶ τὸ στέφος Θεόδωρε, ὡς καρτερῶς ἐναθλήσας ὑπὲρ αὐτοῦ, τὸ ἀκήρατον ἀπείληφας.

Κανόνες μέθοδοι τέχναι, τῶν ἐγκωμίων σοφὲ, ἡττῶνται τῷ μεγέθει, τῶν λαμπρῶν σου ἀγώνων, Θεόδωρε στερρόφρον οὓς ἀνδρικῶς, καὶ γενναίως ὑπήνεγκας, καὶ δυσμενῶν ἀοράτων καὶ ὁρατῶν, ἐθριάμβευσας τὴν δύναμιν.

Πδέα κόσμου, καὶ κόσμον πάντα κατέλιπες, Θεόδωρε ἐμφρόνως, Μωϋσέως τῷ ζήλῳ, καὶ γὰρ τὴν κακουχίαν τῶν ἡδονῶν, ἀθλοφόρε προείκρινας, καὶ τὸ θανεῖν ὑπὲρ πίστεως ἢ τὸ ζῆν, ὡς ὁ Παῦλος προετίμησας. Δόξα. Ἦχος δ'.

Φαιδρῶς τὸν λαμπρὸν ἀστέρα τοῦ Χριστοῦ Θεόδωρον, καὶ στερρὸν ἀθλοφόρον, ἑορτάσωμεν πιστοὶ, ὑπὲρ γὰρ τῆς εὐσεβείας καλῶς ἀγωνισάμενος, τὸ βραβεῖον τῆς νίκης ἐπαξίως ἀπείληφε, καὶ τῷ Θεῷ νῦν μετὰ παῤῥησίας μαρτυρικῆς παριστάμενος, πρεσβεύειν ἀπαύστως ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Ἐκ παντοίων κινδύνων.

Εἰς τὸν στίχ. Ἦχος β'. Οἶκος τοῦ Εὐφραθᾶ.

Ὀλλυται ὁ ἐχθρὸς βέλει τῆς καρτερίας, τῆς σῆς Χριστοῦ ὁπλῖτα, Θεόδωρε γενναῖε, ὁ σοῦ κατακαυχώμενος.

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει.

Ῥείθροις προκαθαρθεὶς, δακρύων ὡς ὁ Πέτρος, Θεόδωρε ἐγένου, συμμέτοχος ἐκείνῳ, Χριστοῦ παθῶν μακάριε. Πεφυτευμένος ἐν τῷ οἴκῳ.

Ὄντως δῶρον Θεῷ, ἐπάξιον προσήχθη, Θεόδωρος ὁ θεῖος, καὶ κόσμῳ διανέμει, θεοπαρόχους χάριτας.

Δόξα. Καὶ νῦν.

Ὑπέρθεε τριὰς, Πάτερ Υἱὲ καὶ Πνεῦμα, λιταῖς τῆς Θεοτόκου, καὶ ταῖς τοῦ Θεοδώρου, θέωσον τοὺς ὑμνοῦντάς σε.

Ἀπολυτίκιον ἦχος ά. Τῆς ἐρήμου πολίτης.

Τῷ Θεῷ ὥσπερ δῶρον φερωνύμως Θεόδωρε, δι' ἀθλήσεως πόνων προσηνέχθης πολύτιμον, καὶ ἄμωμον θῦμα καὶ δεκτὴ, παμμάκαρ ἐγένου προσφορά· ὅθεν πόθῳ συνελθόντες, τοὺς σοὺς ἀγῶνας ἐν ὕμνοις γεραίρομεν, καὶ δόξαν προσάγομεν Θεῷ, τῷ θαυμαστῶς σε ἐνισχύσαντι, κατ' ἐχθρῶν ὁρωμένων καὶ ἀοράτων πολύαθλε.

Δόξα, καὶ νῦν. Τοῦ Γαβριὴλ φθεγξαμένου.

ΕΘΝΙΚΟΝ ΑΝΑΓΝΩΣΤΗΡΙΟΝ ΒΙΒΛΙΟΘΗΚΗ ΕΠΙΜΕΛΗΤΗΣ ΕΠΙΘΕΩΡΗΤΗΣ ΠΑΠΑΔΑΚΗΣ

Ἐν δὲ τῷ μεγάλῳ Ἑσπερινῷ, μετὰ τὸν Προοιμιακὸν, τὸ Μακάριος ἀνήρ. Εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν σίχ. ἡ. Νικοδήμου Μοναχοῦ ἦχος ά. Πανεύφημοι Μάρτυρες.

Παμμάκαρ Θεόδωρε Χριστὸν ἐκ ψυχῆς ἠγάπησας, καὶ δι' αὐτὸν τὴν εὐπάθειαν, σαρκὸς ἐμίσησας, νεότητα κάλλος, καὶ τρυφὴν τὴν ῥέουσαν, καὶ χαίρων τὸ σὸν αἷμα ἐξέχεας· διὸ τὴν μνήμην σου, τὴν ἐτήσιον γεραίρομεν, τὸν σωτῆρα Χριστὸν μεγαλύνοντες. Δίς.

Παμμάκαρ Θεόδωρε ῥοαῖς, τῶν σεπτῶν αἱμάτων σου, Λευϊαθὰν τὸν ἀρχέκακον, τὸν σὲ ἀδικήσαντα, ἐβύθισας ὄντως, καὶ τοῖς θείοις ἄθλοις σου, τελείᾳ ἀφανείᾳ παρέδωκας. Χριστὸν, ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος. Δίς.

Παμμάκαρ Θεόδωρε ἡμῖν, ὡς ἀστὴρ ἐξέλαμψας, νεοφανὴς, τὴν σκοτόμαιναν τῆς πλάνης ἅπασαν, τὴν καταχυθεῖσαν, εἰς τὰ τοῦ κόσμου πέρατα, ἀκτῖσι τοῦ λαμποῦ μαρτυρίου σου, λύων πανεύφημε, καὶ φωτίζων τοὺς τιμῶντάς σε, καὶ θερμαίνων πρὸς πόθον τοῦ κτίσαντος. Δίς.

Μωσέως τῷ ζήλῳ ἀθλητὰ, ἔνδοξε Θεόδωρε, τρυφὴν ἐάσας τὴν πρόσκαιρον, καὶ τὴν ἀπόλαυσιν, τὴν ἐν βασιλείοις, καὶ πνεύσας ἀπείληφας, τὴν ἐν τοις οὐρανοῖς αἰωνίζουσαν, πόνοις ἀθλήσεως, καὶ ὑπόδειγμα μιμούμενος, Ἰακώβου τοῦ Πέρσου μακάριε.

Παμμάκαρ Θεόδωρε Θεὸν, ἵλεων ἀπέργασαι, ἡμῖν ταῖς θείαις πρεσβείαις σου, τοῖς ἑορτάζουσι, τὴν πανιέρου σου, καὶ ἁγίαν ἄθλησιν, καὶ τὴν πρὸς τὸν Χριστὸν σὴν ἀνάλυσιν, δι' ἧς ἀπείληφας, τὰ βραβεῖα τῶν ἀγώνων σου, σὺν ἀγγέλοις ἀεὶ ἀγαλλόμενος.

Δόξα. Ἦχος δ'.

Κροτήσωμεν σήμερον ἐπὶ τῇ μνήμῃ Θεοδώρου, τοῦ νέου μάρτυρος· ὁμωνυμήσας γὰρ οὗτος Θεοδώρῳ τῷ πάλαι μεγαλομάρτυρι, τῇ μιμήσει τοῦ μαρτυρίου, καὶ συνώνυμος ἀληθῶς ἐκείνῳ ἐγένετο· ὅθεν ὡς ἐπώνυμος τῶν τοῦ Θεοῦ δωρεῶν τοῖς αὐτὸν εὐφημοῦσι, δῶρα πλουτοποιὰ τῶν θείων χαρίτων παρέχει, καὶ πρεσβεύει ἀπαύστως ὑπερ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Ὁ διὰ σὲ θεοπάτωρ. Τὸ προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα. Ζήτει σελ. 8. Εἰς τὴν λιτήν, Ἦχος ά.

Εὐφραίνου ἐν Κυρίῳ μάρτυς Θεόδωρε, ὁ τὸν Χριστὸν δοξάσας ἐν τοῖς τιμίοις σου μέλεσιν. Εἰ γὰρ καὶ πρὸς καιρὸν αὐτοῦ ἐχωρίσθης διὰ τῆς ἀρνήσεως, ἀλλὰ τούτῳ πάλιν ἡνώθης διὰ τῆς πίστεως, καὶ τῆς ἐπὶ τῇ πίστει πεπαῤῥησιασμένης ὁμολογίας· προσθήκη δὲ τῆς ἑνώσεως, ἡ τῶν αὐτοῦ παθῶν καὶ τοῦ θανάτου ὁμοιότης, καὶ κοινωνία σοι γέγονε· δι' ἧς τούτῳ, ὡς κεφαλῇ μέλος ἐπὶ πλεῖστον συνήφθης, καὶ συνημμένος ἔσῃ εἰς αἰῶνα τὸν ἅπαντα, δόξης τῆς αὐτῷ πρεπούσης συναπολαύων· ὅθεν ὡς παῤῥησίαν ἔχων πρὸς αὐτὸν, πρέσβευε ἀπαύστως ὑπὲρ ἡμῶν τῶν τιμώντων σε.

Δόξα. Ἦχος πλ. ά.

Γενναῖε μάρτυς τοῦ Χριστοῦ Θεόδωρε, ἐπαξίως εὐφημοῦμεν τὴν μνήμην σου· σὲ γὰρ οὐ βίαι τυραννι-

ΕΛΛΗΝΙΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΑΝΤΩΡΗΣ ΠΑΠΑΔΑΚΗΣ

καὶ, οὐ θωπεῖαι ἀπατηλαὶ, οὐ μαστίγων ἐπιφοραὶ, οὐ στρέβλωσις κεφαλῆς, οὐκ ὀφθαλμῶν ἔξωσις, οὐκ ὀδόντων ἐκρίζωσις, οὔτε ὁ δι' ἀγχόνης θάνατος, τῆς πρὸς Χριστὸν ἀγάπης χωρίσαι ἴσχυσαν· καὶ νῦν ἐν οὐρανοῖς μετὰ Ἰακώβου, καὶ Μείρακος, καὶ τῶν λοιπῶν μαρτύρων συναγαλλόμενος, μὴ παύσῃ πρεσβεύων ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Μακαρίζομέν σε. Ἦχος πλ. ά.

Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χαίροις ὁ ἐν ὑστέροις καιροῖς, τὴν τῶν ἐξ Ἄγαρ ἀπελέγξας δυσσέβειαν, καὶ πίστιν Χριστῷ παμμάκαρ, ἀνακηρύξας ψυχῆς, ἐν ἀνδρικωτάτῳ παραστήματι· ὁ νοῦν τὸν ἀρχέκακον, καὶ τὰ τούτου στρατεύματα, λύπης πληρώσας· τῶν ἀγγέλων δὲ τάγματα, πλήσας ἅπαντα, θυμηδίας καὶ τέρψεως· οἷς καὶ συναυλιζόμενος, γενναῖε Θεόδωρε, αἴτησαι πᾶσι τοῖς πόθῳ, ἐπιτελοῦσι τὴν μνήμην σου, ἡμῖν δωρηθῆναι ἴλασμὸν ἁμαρτημάτων καὶ μέγα ἔλεος.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Χαίροις τῆς καθ' ἡμᾶς γενεᾶς, στήριγμα μέγα ἀθλοφόρε Θεόδωρε· ὁ πάντων ἐξομοσάντων, ὑπογραμμὸς ἀληθής· ὁ πολλὰς βασάνους διὰ Κύριον, ὀδόντων ἐκρίζωσιν, καὶ ὀμμάτων τὴν ἔξωσιν, καὶ τοῦ προσώπου, ὑπομείνας τὴν στρέβλωσιν, καὶ τὸν θάνατον, χαρμοσύνως δεξάμενος· δόξα καὶ ἐγκαλλώπισμα, πιστῶν ὁ γενόμενος, τῶν δὲ ἀπίστων αἰσχύνη, καὶ ἀτιμία αἰώνιος. Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ.

Χαίροις γενναῖε μάρτυς Χριστοῦ, ὁ ἐν χωρίῳ τῆς χαρᾶς διαιτώμενος, χαρίτων τῶν ἀκηράτων, τῷ πεπλησμένῳ ἀεί· ὅπου τῶν Ἀγγέλων τὰ στρατεύματα, χαρᾷ τερπνῇ χαίρουσι· καὶ δικαίων τὰ πνεύματα, γελῶσιν ὄντως, τὸν μακάριον γέλωτα, καὶ ἐμπίπλανται, χαρμονῆς τε καὶ τέρψεως· ὅπου ὁ χαριέστατος, Χριστὸς ὁ Θεάνθρωπος, πᾶσι τὰς χάριτας νέμει, τοῖς ὁλοψύχως ποθήσασιν, αὐτὸν καὶ παρέχει τὴν χαρὰν τῆς ἀϊδίου μακαριότητος. Δόξα. Ἦχος δ'.

Ἐθαυμαστώθη Χριστὲ τὸ κράτος τῆς δυνάμεώς σου, καὶ πάλαι καὶ νῦν· ἐξαιρέτως δὲ ἐν τῇ ἀσθενείᾳ τοῦ σοῦ νεομάρτυρος Θεοδώρου· ἰδοὺ γὰρ οὗτος ὁ κατὰ ψυχὴν καὶ σῶμα ἀσθενής τε καὶ ἄνανδρος, τὴν ἄμαχον ἰσχύν σου περιφραξάμενος, ἀνδρείως εἰς τὸ στάδιον τῆς ἀθλήσεως ἤλατο· καὶ βασάνους ὑπομείνας, αἳ κάμπτουσι καὶ τὸν ἀλκιμώτατον, τὸν δυνατὸν ἐν κακίᾳ ὡς ἀσθενέστατον στρουθίον καταπεπάτηκεν· ὅθεν πάντας ἐγείρει εἰς δόξαν τοῦ σοῦ παντοδυνάμου ὀνόματος, τοῦ ἀπαύστως δοξαζομένου ἐν τοῖς ἁγίοις σου.

Καὶ νῦν. Ἐκ παντοίων κινδύνων. Ἀπολυτίκιον. Ζήτει εἰς τὸν μικρὸν Ἑσπερινόν. Καὶ ἀπόλυσις.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν ά στιχ. Κάθισμα. Ἦχος ά.

Τὸν τάφον σου Σωτήρ.

Ἀδάμας ὡς στερρὸς, ὡς ἀκλόνητος πύργος, ὡς ἄκμων ἀκαμπὴς, προσβολὰς τῶν βασάνων, ὑπήνεγκας

Θεόδωρε, καὶ οὐδ' ὅλως εἰσδέδεξαι, τὴν δυσσέβειαν· τὴν δὲ ὀρθόδοξον πίστιν, ἀνεκήρυξας, ἐν τῷ σταδίῳ γενναίως· διό σε γεραίρομεν.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Μαρία ἡ τὰς τρεῖς, ἀνηκούστους ἐνώσεις, ἐνώσασα φρικτῶς, παρθενίαν καὶ τόκον, Θεόν τε καὶ ἄνθρωπον, πίστιν τε τὴν πιστεύουσαν, τοῖς ξενίζουσι, τούτοις καρδίαν ἀνθρώπου· ἡμᾶς ἕνωσον, τῇ τοῦ Υἱοῦ σου ἀγάπῃ, καὶ σῶσον Πανύμνητε.

Μετὰ τὴν 6' στιχ. Κάθισμα. Ἦχος δ'.

Ταχὺ προκατάλαβε.

Τὸ πῦρ ἀγαπήσεως, τῆς πρὸς Χριστὸν τὸν Θεὸν, ἐν βάθει καρδίας σου ἔχων σοφὲ τὸ γλυκύ· μὴ φέρων τὴν φλόγα δὲ, ἔσπευσας διαβῆναι, πρὸς αὐτὸν ἀθλοφόρε, θᾶττον διὰ θανάτου, καὶ βασάνων ποικίλων. Καὶ νῦν Χριστῷ ἑνωθεὶς ἔστης τοῦ πόθου σου.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ταχὺ δέξαι, Δέσποινα τὰς ἱκεσίας ἡμῶν· καὶ ταύτας προσάγαγε, τῷ σῷ υἱῷ καὶ Θεῷ, Κυρία Πανάμωμε, λῦσον τὰς περιστάσεις, τοῦ παρόντος αἰῶνος· πράϋνον μηχανίας, καὶ κατάβαλε θράσος, τῶν ὁπλιζομένων ἄχραντε κατὰ τῶν δούλων σου.

Μετὰ τὸν Πολυέλεον. Ἦχος δ'.

Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ

Διαφυγὼν τὸν σὲ πειράζοντα μάρτυς, καὶ μαρτυρίου σου τὸ ἔργον τελέσας, πρὸς τὸν Χριστὸν ἀνέδραμες τὸν σοὶ ποθητὸν, ὥσπερ πρώην ἔλεγες, καὶ νῦν ἔστης

τοῦ πόθου, δόξης ἐμφορούμενος, καὶ χαρᾶς ἀνεκφράστου· ἧς ἐκδυσώπει πάντας μετασχεῖν, τοὺς τὴν σὴν μνήμην, τελοῦντας Θεόδωρε.

Ἕτερον. Ἐπεφάνης σήμερον.

Τὴν φθαρτὴν υἱότητα, τοῦ ἐπιγείου, βασιλέως ἔλιπες, μάρτυς Θεόδωρε σοφῶς· καὶ νῦν υἱὸς ἐχρημάτισας, ἐν ἀληθείᾳ Χριστοῦ τοῦ παντάνακτος.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Προστασία ἄμαχε τῶν ἐν ἀνάγκαις, καὶ λιμὴν ἀχείμαστε τῶν ναυαγούντων ἐν δεινοῖς, τῆς ἐνεστώσης ἀνάγκης με, καὶ τρικυμίας παθῶν ἐλευθέρωσον.

Οἱ ἀναβαθμοί. Τὸ ά ἀντίφ. τοῦ δ' ἤχου.

Προκείμενον. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ. Τὸ, Πᾶσα πνοή. Εὐαγγέλιον μαρτυρικὸν, ἐκ τοῦ κατὰ Λουκᾶν. Δόξα. Ταῖς τοῦ ἀθλοφόρου. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου..

Εἰς τὸ, Ἐλεῆμον ἐλέησόν με. Ἦχος πλ. β'.

Παριστάμενος τῷ Θρόνῳ Χριστοῦ τοῦ Θεοῦ, καὶ τῆς ἐκεῖθεν ἀπορρεούσης δόξης καὶ φωτοχυσίας ἐμπιπλάμενος, μάρτυς Θεόδωρε, αἴτησαι πρεσβείαις σου, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Κανὼν εἷς τῆς Θεοτόκου, οἷον βούλει, εἰς ς'.

Καὶ οἱ κανόνες τοῦ Ἁγίου, εἰς ζ'.

Οὗ ἡ ἀκροστιχίς,

Ὕμνον προσάδω Θεοδώρῳ τῷ νέῳ

Ὠδὴ ά. Ἦχος πλ. δ'. Ἀμαρτηλάτην Φαραώ.

Γυμνον προσάδειν τῇ σεπτῇ ἀθλήσει σου, ἐπιποθοῦντί

ΕΘΝΙΚΟΝ ΚΑΙ ΚΑΠΟΔΙΣΤΡΙΑΚΟΝ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΑΘΗΝΩΝ ΒΙΒΛΙΟΘΗΚΗ ΚΕΝΤΡΟ ΠΛΗΡΟΦΟΡΗΣΗΣ ΚΑΙ ΤΕΚΜΗΡΙΩΣΗΣ ΒΙΒΛΙΟΘΗΚΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

μοι νῦν, χάριν ἐν τῷ λόγῳ, καὶ λόγον ἐν χάριτι, δίδου μάρτυς Θεόδωρε, ὡς ἂν μέλψω ἀξίως, ταύτην καὶ χάριν δωρήσωμαι, τοῖς ἀκροωμένοις καὶ ψάλλουσι.

Μείνας ἐν τόπῳ, ἡσυχίας ἔνδοξε, μάρτυς Θεόδωρε, εἰς αἴσθησιν ἦλθες, τοῦ κακοῦ οὗ πέπονθας, καὶ τὴν ψυχήν σου βέλεσι, κατανύξεως βάλλεις, καὶ θείου φόβου ἀοίδιμε, κλαίων καὶ πικρῶς ὀδυρόμενος.

Νέων μαρτύρων τοῦ Χριστοῦ τὴν ἄθλησιν, καὶ τὰ μαρτύρια, σὺ ἀναγινώσκων, συνεχῶς Θεόδωρε· καὶ ἐξαιρέτως ἄθλησιν, Πολυδώρου τοῦ νέου, εἰς πόθον ἦλθες καὶ ἔρωτα, τοῦ διὰ Χριστὸν μαρτυρῆσαί σε.

Θεοτοκίον.

Ὄμματα ὥσπερ, τῆς παιδίσκης βλέπουσιν, ἀεὶ κυρίας αὐτῆς, εἰς τὰς χεῖρας οὕτω, τὰ ὄμματα βλέπουσιν, ἡμῶν ἀγνὴ τῶν δούλων σου, εἰς τὰς χεῖρας ἀπαύστως, σοῦ τῆς Κυρίας τῆς κτίσεως, ἕως ἂν ἡμᾶς οἰκτειρήσειας.

Ἄλλος. Ἦχος δ'. Θαλάσσης τὸ ἐρυθραῖον.

Πόνημα Μιχαὴλ Εὐμορφοπούλου.

Γμνῆσαι προθυμουμένῳ σήμερον, τὴν θείαν ἄθλησιν, καὶ τοὺς σεπτοὺς ἀγῶνας τοῦ κλεινοῦ ἀθλοφόρου σου Κύριε, ἁμαρτημάτων ἄφεσιν, καὶ φωτισμὸν Χριστὲ παράσχου μοι.

Μετάγνωσιν ἀληθῆ Θεόδωρε, ἐφ' οἷς περ ἔπραξας, δακρυρροῶν σὺ ἔδειξας πικρῶς, διὰ τοῦτο καὶ δύνα-

μιν, παρὰ Χριστοῦ ἀπείληφας, εἰς τὸ νικῆσαι τὸν ἀντίπαλον.

Γπάρχων ἐν βασιλείοις ἔνδοξε, Χριστὸν ἠθέτησας, τῇ τοῦ νοὸς κουφότητι τοῦ σοῦ, καὶ σατᾶν δολιότητι· εἰς σεαυτὸν δ' ἀνέδραμες, ὑπὲρ Χριστοῦ στερρῶς τ' ἐνήθλησας. Θεοτοκίον.

Παρθένος μετὰ τόκον ἄφθορος, διαμεμένηκας, τὸν δι' ἡμᾶς ὀφθέντα ἐπὶ γῆς, ὑπὲρ λόγον κυήσασα, ὃν ἐκτενῶς ἱκέτευε, φωταγωγῆσαι τὰς ψυχὰς ἡμῶν.

Ὠδὴ γ'. Οὐρανίας ἀψῖδος.

Νέον ῥόδον ἐφάνης, κοκκοβαφὲς εὔοσμον, ἐν καιρῷ χειμῶνος ἀνθῆσαν τῆς νῦν ψυχρότητος, τῆς καθ' ἡμᾶς γενεᾶς, ὄψιν καὶ ῥῖνα εὐφραίνων, ἡμῶν τῶν ποθούντων σε μάρτυς Θεόδωρε.

Πολὺν πόλεμον ἔσχες, καὶ πειρασμοὺς ἔνδοθεν, ἐν τοῖς λογισμοῖς σπειρομένους ὑπὸ τοῦ δράκοντος, μάρτυς Θεόδωρε· ἀλλὰ σταυροῦ τῇ δυνάμει, ἅπαντας διέλυσας διὰ τῆς πίστεως.

Ῥώμην θείαν πλουτήσας, τὴν τοῦ Χριστοῦ ἔνδοθεν, τὴν τοὺς ἀσθενεῖς δυναμοῦσαν καὶ ἐνισχύουσαν, μάρτυς Θεόδωρε· καὶ ἀσθενὴς ὢν τὸ σῶμα, ἐνευρώθης ἔνδοξε πρὸς τὸ μαρτύριον. Θεοτοκίον.

Ὁ μὲν σκῦλα εὑρίσκων, καὶ θησαυρὸν τέρπεται· ἐγὼ δὲ εὑρὼν Θεοτόκε σὸν θεῖον ὄνομα, καὶ τὴν εἰκόνα σου, καταφυγὴν ἐν ἀνάγκαις, χαίρω ὀνομάζων σε καὶ ἀσπαζόμενος.

ΕΛΛΗΝΙΚΟΣ ΒΙΒΛΙΟΘΗΚΗ & ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣ

Ἄλλος. Οὐκ ἐν σοφίᾳ καὶ δυνάμει.

Ἐπείπερ ἔγνως, ἐν τῇ Χίῳ ἀδύνατον εἶναί σε, τὸν ἐχθρὸν καταβαλεῖν, ὑφ' οὗ τὸ πρὶν ἐξηπάτησαι, τὴν Λέσβον κατέλαβες, τοῦτον τρωσόμενος.

Ἰδοὺ ἑβόας, τῷ τυράννῳ σοὶ δίδωμι σήμερον, τὴν ψευδῆ καὶ μυσαρὰν, πίστιν ἣν πάλαι μοι ἔδωκας, κηρύττω δὲ ἄντικρυς, ἣν εἶχον πρότερον.

Συνθανομένῳ, τῷ τυράννῳ τίς οὗτος; ἀντέλεγον, οἱ ὄντες περὶ αὐτὸν, ἄφρων ὑπάρχει, σὺ δ' ἔφησας, Χριστοῦ δοῦλος πέφηνα, οὐχὶ δ' ἀνόητος.

Θεοτοκίον.

Σὲ τὴν τεκοῦσαν, τὸν Θεὸν Θεοτόκε δοξάζομεν, τῷ γεννήματι τῷ σῷ, προσηγορίαν ἁρμόζοντες, καὶ κλῆσιν κατάλληλον, πάναγνε Δέσποινα.

Ἀκολουθία τοῦ ἁγίου Μάρτυρος.

Κάθισμα. Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.

Καθάπερ ἔμπορος ἐκ φερων ἠλλάξω, τῶν ἐπιγείων τὰ οὐράνια Μάρτυς· καὶ τὴν ζωὴν τὴν πρόσκαιρον λιπὼν ὦ ἀθλητὰ, εὗρες τὴν αἰώνιον, καὶ τὴν ἄπειρον μάκαρ, βραχυτάτου αἵματος, βασιλείαν ὠνήσω, καὶ σὺν χοροῖς εὐφραίνῃ ἀθλητῶν, ὑπὲρ τοῦ κόσμου Θεὸν ἱλεούμενος.

Δόξα, Καὶ νῦν. Θεοτοκίον.

Οὐ σιωπήσομεν ποτὲ Θεοτόκε. Ὠδὴ δ'. Σύ μου ἰσχύς.

Σὺ μὲν πυκνῶς, καταφιλῶν οὐ διέλιπες, τὰς ὁσίας χεῖρας ὦ Θεόδωρε, καὶ ταῖς ῥοαῖς δακρύων τῶν σῶν,

κατέβρεχες πόδας, τοῦ συνοδίτου σοι γέροντος, εὐχαριστῶ σοι πάτερ, δι' ἐμὲ ἀνακράζων, ὅτι κόπον τοσοῦτον ὑπέμεινας.

Ἀλλ' ἐκ ψυχῆς, ὁ συνοδίτης σοι ἔλεγε· Παῦσε τέκνον, καὶ μὴ ταῦτα λέγε μοι· καὶ γὰρ εἰ σὺ, ὑπὲρ τοῦ Χριστοῦ, ἀθλῆσαι ἐπείγῃ, πῶς οὐκ ἐγὼ ἀγαπήσω σε; ἀπόστηθι οὖν λύπης, καὶ τῶν θρήνων ἀπόσχου, καὶ δειλίαν ἀπέλασον ἅπασαν.

Δύω ὁμοῦ, σύ τε κἀκεῖνος ὃν ἔσχηκας, συνοδίτην, ἔνδοξε Θεόδωρε, τῇ τῆς ψυχῆς, ὀδύνῃ πικρᾷ, συνείχεσθε ὅλως, μὴ στέγοντες τὴν διάζευξιν· δακρυρροοῦντες ἄμφω, συνθρηνοῦντες ἀλλήλοις, ἕως οὗ ἀπ ἀλλήλων διέστησε. Θεοτοκίον.

Ὦ Μαριὰμ, γλυκὺ καὶ πρᾶγμα καὶ ὄνομα· σὺ ἐν μέσῳ, Θεοῦ τε ἀνθρώπων τε, πᾶσα τὸν μὲν, ἀνθρώπου υἱόν, εἴργασαι Παρθένε, τοὺς δὲ ἀνθρώπους ἀνέδειξας, υἱοὺς Θεοῦ διό με, ἀποκήρυκτον ὄντα, τῷ Θεῷ υἱοποίησον ἄχραντε. Ἄλλος. Ἐπαρθέντα σε.

Οὐδὲν δέδοικα ἑβόας, γενναιοφρόνως, τὰς παρ' ἡμῶν δεινοὶ, ἀπειλουμένας βασάνους, Χριστὸς γάρ μοι δύναμις, ᾧ κράζω γηθόμενος, δόξα τῇ δυνάμει σου Κύριε.

Βεβλημένον σὲ θεόφρον τῆς εἱρκτῆς ἔνδον, τῶν ἀσεβῶν πλεῖστοί τινες εἰσελθόντες, δεινῶς μὲν ἐμάστιζον, ἐγέλων δὲ κράζοντες, δόξα τῇ δυνάμει σου Κύριε.

Ἐλθέ σοι ἔλεγον πάλιν οἱ ἀσεβοῦντες, ἐπὶ τὴν πίστιν

τὴν ἡμῶν· ἡμεῖς δ' ἀντὶ ταύτης χρήματά σοι δίδομεν ἀξίαν καὶ ἔπιπλα, πίστιν τὴν ἡμῶν προτιμήσαντι.

Θεοτοκίον.

Τὴν ψυχήν μου φαρμαχθεῖσαν τοῖς ἰοβόλοις, τῶν ἐναντίων δήγμασι, δραστικῷ φαρμάκῳ, πρεσβειῶν θεράπευσον, Χριστὲ τῆς τεκούσης σε, καὶ τοῦ ἱεροῦ ἀθλοφόρου σου. Ὠδὴ ε'. Ἵνα τί με ἀπώσω.

Θείῳ ἔρωτι μάρτυς, τῷ τοῦ μαρτυρίου δεινῶς συνεχόμενος, πρὸς Χριστὸν ὑπάγω, πρὸς Χριστόν μου πορεύσομαι ἔλεγε· καὶ ταχὺ τελέσω, ἔργον ὃ ἔχω ἀνὰ χεῖρας· ἵνα θᾶττον σατᾶν λυτρωθήσωμαι.

Εὐθαρσεῖ παῤῥησίᾳ, ἤλεγξας ἀπίστους παμμάκαρ Θεόδωρε· καὶ ψευδοπροφήτην τὸν αὐτῶν ἀρχηγὸν ἀνεκήρυξας, καὶ θρησκείαν τούτου, πλάνην ὠνόμασας πανσόφως, καὶ παρέδως αὐτὴν ἀναθέματι.

